Philolog.
R
1762
Bd. 167a

# HOMERI

BATRACHO
MYO-
MACHIA,
Hoc eſt, Ranarum &
murium pugna.
Græce & Latine.

APVD INCLY-
TAM GER-
MANIAE
BASILEAM.

# IO. FROBENIVS, GRAECARVM LI TERARVM CANDIDATIS S. D.

DEdimus modo uobis Aesopi Phrygis, & Ga/
briæ fabellas græcas, in Enchiridij forma, cū lati
na interpretatione, uidelicet ut habeatis aliquid stilo so
luto conscriptū, in quo græcæ studiosi linguæ exercea/
mini. Nam ab ijs auspicandum est, qui prosa oratione
sunt usi, quos λογογράφους illi uocant, quod simplicē
ac cōmunem plerunq; linguam ἀπλικιζόμενοι sequun
tur. Poetæ uero post attingendi. nam ex omnibus lin/
guis sua fere temperare solent. Et sic res habet, ut illis in
tellectis ij facile capiantur. non autē si hos cognoscas, il
los propterea perceperis. Nunc HOMERI βατραχο
μυομαχίαν exhibemus, ut a principe poetarum exor/
si, poeticas figuras, & his peculiarē uocabulorū usum
paulatim discatis. ac quando non est ubiq; multū præ/
ceptorum qui doceant, in commune quidem omnibus
ubilibet studiosis consulturi, latinam interpretationem
e regione curauimus opponendam. Quid nunc præ/
texent isti, qui rogati cur nō græce discant, perpetuo do/
ctorum penuriam causantur, cū in huius tēporis tam
mire fertili bonorū utriusq; linguæ codicum propaga/
tione, cuilibet in grecis αὐτοδίδακτον esse liceat, et græ
cam eruditionē, citra tradentis operā, ex mutis modo
magistris, hoc est libris, proprio Marte cōparare. Quā/
quam speramus CHRISTO bene studijs uolente,
breui GERMANIAM uniuersam præceptoribus
abundaturam. Accepimus em̄, Louanij, inferioris Ger
maniæ frequēs oppidū est, ex legato Hieronymi Busli
dij collegiū institui, in quo tres linguæ, Hebraica, Græ/
ca & Latina, publice & gratis a doctissimis professori/
bus liberali stipendio conductis, doceantur. CHRI/
STVS Opt. Max. faxit, ut id belle procedat. Tum au/
sim



sim ego barbariei iam alte nimis omnia studia ferme
DCCCCC annos occupanti, laqueū, ut prouerbio di
citur, mandare, quæ non ut olim sensim irrepsit, ita nūc
leuiter, sed rapti, & λὰξ καὶ κονδὺξ sit eliminā da. Porro
quod ad nos attinet, nos bonis literis non deerimus,
quando pro uirili parte, nostrā, siquā est, industriā hic
adiuuat illustria ueræ eruditiōis lumina, Des. ERAS
MVS ROT. Ludouic⁹ Berus, V. Fabritius Capito,
Amorbachij Bruno & Basilius, & Beatus Rhenanus.
atq; horū affectatores, C. Fonteius Vesennus, Hierony
mus Artolphus, Ludouicus Carinus, Albertus Burer
rius, Ioannes Atrocianus, Stephanus Ferrarius, Io. Do
ringus. Dabimus autē lubēter deinceps maiora, si mo/
do cognouerimus nostro uos sumptui, qui certe maxi/
mus est, redimendis libris aliqua saltē ex parte respon/
suros. Nam si lucrū pecuniarisi noster scopus esset, & nō
potius publica studiosorū utilitas, in primis non q̄ ca/
stigate & emuncte, & q̄ non unūquodlibet, sed q̄ mul/
tum imprimeretur, consyderandum nobis foret. Eram
propemodum oblitus lectores admonere βατραχομυο
μαχίαν, ab ijs qui inter doctos acerrimo sunt iudicio,
non ab Homero credi profectam, sed a quopiam qui
illū æmulatus, hoc poemation luserit, & ut libello plus
accederet gratiæ, Homerico nomini inscripserit. Tamet/
si huius, quisquis fuerit, diuinū ingeniū ex hoc poema/
tio satis abunde eluxit, ut hinc nō multo minus qualis
fuerit appareat, nempe eximius, q̄ ex Iliade Homerus,
quod nugas serio tractare, & feliciter, multo maximi in/
genij sit argumentū. Quidam ad Tigreten Carem refe
runt. nā memini nobis a Beat. Rhenano demonstratū
exēplar uetustū, in quo titulus erat, ΤΙΓΡΗΤΟΣ ΤΟΥ
ΚΑΡΟΣ. Bene Valete. Apud inclytā Germaniæ Ba
sileā, postridie Cal. Ianuarias. An. M.D.XVIII.



4-II A

# ΟΜΗΡΟΥ ΒΑ-
## ΤΡΑΧΟΜΥΟΜΑΧΙΑ.

ἈΡχόμενος πρῶτον μουσῶν χορὸν ἐξ ἑλικῶνος
ἐλθεῖν εἰς ἐμὸν ἦτορ ἐπεύχομαι εἵνεκ' ἀοιδῆς,
ἣν νέον ἐν δέλτοισιν ἐμοῖς ἐπὶ γούνασι θῆκα
δῆριν ἀπειρεσίην πολεμόκλονον ἔργον ἄρηος
εὐχόμενος μερόπεσσιν ἐς οὔατα πᾶσι βαλέσθαι,
πῶς μύες ἐν βατράχοισιν ἀριστεύσαντες ἔβησαν,
γηγενέων ἀνδρῶν μιμούμενοι ἔργα γιγάντων,
ὡς λόγος ἐν θνητοῖσιν ἔην. τοίην δ' ἔχεν ἀρχήν.
Μῦς ποτὲ διψαλέος γαλέης κίνδυνον ἀλύξας,
πλησίον ἐν λίμνῃ ἁπαλὸν προσέθηκε γένειον
ὕδατι τερπόμενος μελιηδεῖ. τὸν δὲ κατεῖδε
λιμνόχαρις πολύφημος, ἔπος δ' ἐφθέγξατο τοῖον.
Ξεῖνε, τίς εἶ; πόθεν ἦλθες ἐπ' ἠόνα; τίς δέ σ' ὁ φύσας;
πάντα δ' ἀλήθευσον, μὴ ψευδόμενόν σε νοήσω.
εἰ γάρ σε γνοίην φίλον ἄξιον, ἐς δόμον ἄξω.
δῶρα δέ τοι δώσω ξεινήια πολλὰ καὶ ἐσθλά.
εἰμὶ δ' ἐγὼ βασιλεὺς φυσίγναθος, ὃς κατὰ λίμνην
τιμῶμαι, βατράχων ἡγούμενος ἤματα πάντα.
καί με πατὴρ πηλεὺς ποτὲ γείνατο ὑδρομεδούσῃ





# HOMERI RA-
## NARVM ET MVRIVM PVGNA.

INcipiēs primū Muſarū cœtū ex Helicone
Venire in meū cor ſupplico gratia cantus,
Quē nuꝑ in libellis meis ſuꝑ genua poſui
Litem immenſam tumultuoſum opus Martis,
Supplicās hominibus in aures omnibus mittere,
Quomodo mures, in ranas principantes iuerunt
Terrigenum uirorum imitati opera gigantum.
Sic ſermo īter mortaleſ erat. tale āt habuit pricipiū
Mus aliquando ſitibūdus felis periculū euitās,
Propinquū in lacum teneram adpoſuit barbam,
Aqua delectatus dulci. hunc autem uidit
Limnocharis obſtrepera, uerbū āt loquuta ē tale
O hoſpes qs es? unū uenisti ad lit⁹? qs āt q te ꝓdu(xit?
Oia aūt uere dic, ne mēdacē te intellexero.
Si em̄ te nouerim amicū dignū, ad domū ducā.
Dona autē tibi dabo hoſpitalitia multa & bona.
Sum autē ego rex Phyſignathus, qui per lacum
Color, ranarum dux dies omnes,
Et me pater Peleus olim genuit, Hydromeduſæ

Λιμνό-χαρις τοῦτέστι ὁ τῇ λίμνῃ χαίρων, hoc eſt, palude gaudēs.

φυσίγναθος ἀπὸ τοῦ φυσᾶν τοῖς γνάθοις, hoc eſt, ab eo ꝙ inflet ſe maxillis

ὑδρο-μεδούσῃ τοῦτ' ἐστι τῇ βασι-λίσσῃ, τοῦ ὕδατος, hoc eſt, reginæ aquarū.

μιχθεὶς ἐν φιλότητι παρ᾽ ὄχθας ἠριδανοῖο.
καί σε δ᾽ ὁρῶ καλόν τε καὶ ἄλκιμον ἔξοχον ἄλλων
σκηπτοῦχον βασιλῆα καὶ ἐν πολέμοισι μαχητὴν
ἔμμεναι. ἀλλ᾽ ἄγε θᾶσσον ἑὴν γενεὴν ἀγόρευε.
τὸν δ᾽ αὖ ψιχάρπαξ ἠμείβετο φώνησέν τε.
τίπτε γένος τοὐμὸν ζητεῖς φίλε δῆλον ἅπασιν,
ἀνθρώποις τε, θεοῖς τε, καὶ οὐρανίοις πετεηνοῖς;
ψιχάρπαξ μὲν ἐγὼ κικλήσκομαι. εἰμὶ δὲ κοῦρος
τρωξάρταο πατρὸς μεγαλήτορος. ἡ δέ νυ μήτηρ
λειχομύλη θυγάτηρ πτερνοτρώκτου βασιλῆος.
γείνατο δ᾽ ἐν καλύβῃ με καὶ ἐξεθρέψατο βρωτοῖς,
σύκοις, καὶ καρύοις, καὶ ἐδέσμασι παντοδαποῖσι.
πῶς δὲ φίλον ποιῇ με, τὸν εἰς φύσιν οὐδὲν ὁμοῖον;
σοὶ μὲν γὰρ βίος ἐστὶν ἐν ὕδασιν. αὐτὰρ ἔμοιγε
ὅσσα παρ᾽ ἀνθρώποις τρώγειν ἔθος. οὐδέ με λήθει
ἄρτος τρισκοπάνιστος ἀπ᾽ εὐκύκλου κανέοιο.
οὐ δὲ πλακοῦς τανύπεπλος ἔχων πολλὴν σισαμίδα,
οὐ τόμος ἐκ πτέρνης, οὐχ ἤπατα λευκοχίτωνα,
οὐ δὲ τυρὸς νεόπηκτος ἀπὸ γλυκεροῖο γάλακτος.
οὐ χρηστὸν μελίτωμα, τό, καὶ μάκαρες ποθέουσιν,
οὐ δ᾽ ὅσα πρὸς θοίνην μερόπων τεύχουσι μάγειροι,
κοσμοῦντες χύτρας ἀρτύμασι παντοδαποῖσιν.
οὐδέποτ᾽ ἐκ πολέμοιο κακὴν ἀπέφυγον ἀϋτήν,
ἀλλ᾽ εὐθὺς



Mixtus in amicitia apud ripam Eridani,
Et te qdē uideo pulchrūq; & fortē egregiū aliorū
Sceptriferum regem, & in bellis pugnacem
Esse. sed age citius tuam generationē concionare.
Huic autem rursus Psicharpax, dixitq;.
Quid nā gen⁹ meū pqris o amice, manifestū oīb⁹
Hominibusq; deisq; & cælestibus uolatilibus?
Psicharpax quidē ego uocor. sum aūt filius
Troxartæ patris magnanimi. at mater
Lichomyle filia Pternotroctæ regis.
Genuit autē in lignario me, & enutriuit cibarijs,
Ficubus & nucibus, & edulijs omnigenis.
Quō aūt amicū facies me in naturā nihil similē?
Tibi quidē em̄ uita est in aquis, sed mihi certe
Quæcūq; apd' hoīes cōedere cōsuetudo. neq; me
Panis ter pistus à bene rotunda cista, (latet
Neq; placenta extensa habens multā sisamida,
Nō sectio ex perna, nō iecora albā uestē habētia,
Neq; caseus nuper pressus à suaui lacte,
Nō bonum dulceariū, quod & diui desyderant,
Neq; quæcunq; ad conuiuia hominū faciūt coci,
Ornantes ollas condimentis uarijs.
Nunquam ex bello malum effugi clamorem,

r 4 Sed

Ψιχάρπαξ, hoc est, micarū raptor.

Τρωξάρταο, τοῦτ᾽ ἐστι τρώγοντος τὸν ἄρτον, hoc est, uorātis panē

Λειχομύλη, ἀπὸ τοῦ λείχειν τοὺς μύλους, hoc est, a lābendis molis.

Πτερνοτρώκτου, τοῦτ᾽ ἐστι τρώγοντος τὰ ἐκ πτέρνης, hoc est, pnas seu coxas arrodetis

Sisamida, gen⁹ est leguminis.

ἀλλ' εὐθὺς μετὰ μῶλον ἰὼν, προμάχοισιν ἐμίχθην.
οὐ δέδι' ἄνθρωπον καίπερ μέγα σῶμα φοροῦντα.
ἀλλ' ἐπὶ λέκτρον ἰὼν ἄκρον δάκτυλον καταδάκνω,
καὶ πτέρνης λαβόμην, καὶ οὐ πόνος ἵκανεν ἄνδρα.
νήδυμος οὐκ ἀπέφυγεν ὕπνος δάκνοντος ἐμεῖο.
ἀλλὰ δύω μάλα πάντα τὰ δείδια πᾶσαν ἐπ' αἶαν,
κίρκον καὶ γαλέην, οἵ μοι μέγα πένθος ἄγουσιν,
καὶ παγίδα στονόεσσαν, ὅπου δολόεις πέλε πότμος.
πλεῖστον δὴ γαλέην περιδείδια, ἥτις ἀρίστη,
ἣ καὶ τρωγλοδύνοντα κατὰ τρώγλην ἐρεείνει.
οὐ τρώγω ῥαφάνους, οὐ κράμβας, οὐ κολοκύντας.
οὐ πύτλοις χλωροῖς ἐπιβόσκομαι, οὐδὲ σελίνοις.
ταῦτα γὰρ ὑμῶν ἐστιν ἐδέσματα τῶν κατὰ λίμνην.
πρὸς τάδε μειδήσας φυσίγναθος ἀντίον ηὔδα.
Ξεῖνε, λίαν αὐχεῖς ἐπὶ γαστέρι. ἔστι καὶ ἡμῖν
πολλὰ μάλ' ἐν λίμνῃ καὶ ἐπὶ χθονὶ, θαύματ' ἰδέσθαι.
ἀμφίβιον γὰρ ἔδωκε νομὴν βατράχοισι κρονίων.
σκιρτῆσαι κατὰ γῆν καὶ ἐφ' ὕδασι σῶμα καλύψαι.
εἰ δ' ἐθέλεις καὶ ταῦτα δαήμεναι, εὐχερές ἐστι.
αἴρω σ' ἐν νώτοισι. κράτει δέ με μή ποτ' ὄληαι,
ὅππως γηθόσυνος τὸν ἐμὸν δόμον εἰσαφίκηαι.
Ὣς ἄρ' ἔφη, καὶ νῶτ' ἐδίδου, ὁ δ' ἔβαινε τάχιστα
χεῖρας ἔχων ἁπαλοῖο κατ' αὐχένος ἅλματι κούφῳ.

καὶ



Sed ſtatim ad pugnā iens ꝓpugnātibus mixtꝰ ſũ.
Non timui hominē, & q̄uis magnū corpꝰ ferētē:
Sed ad lectum iens, ſummum digitum mordeo,
Et à pede accepi & non labor occupauit uirum.
Suauis non aufugit ſomnus mordente me.
Sed duo ualde omnia timeo omnē per terram,
Accipitrē & felē, qui mihi magnū luctū adferūt
Et decipulā gemituoſam, ubi doloſū exiſtit fatū.
Plurimum iam felem ſupertimeo, qui optimus,
Qui & foramen ingredientē ꝑ foramen ꝑquirit.
Nō comedo raphanos, nō caules, nō cucurbitas,
Non porris uiridibus paſcor, neq; apijs.
Hæc enim ueſtra ſunt edulia per lacum.
Ad hæc aūt ſubridēs Phyſignathꝰ cōtra locutꝰ ē.
O hoſpes ualde gloriaris ob uētrē, adſūt & nobis
Multa ualde in lacu & in terra mirabilia uiſu,
Vtriuitā ēm dedit paſcuā ranis Saturniꝰ Iupiter,
Exultare per terrā, & in aquis corpus cooperire.
Si autē uis & hæc ſcire: facile eſt
Portē te in humeris. tene aūt me, ne aliqñ pereas.
Sic gauiſus in meam domum uenias.
Sic certe igt, & terga da. ille āt aſcēdebat uelociter
Manus habens tenerum per collum, ſaltu facili.

r 5 Et in primis

Ὁ πρῶτον μὲν ἔχαιρεν, ὅτ' ἔβλεπε γείτονας ὅρμους,
νήξει τερπόμενος φυσιγνάθου. ἀλλ' ὅτε δὴ ῥα
κύμασι πορφυρέοις ἐπεκλύζετο πολλὰ δακρύων,
ἄχρηστον μετάνοιαν ἐμέμφετο. τίλλε δὲ χαίτας,
καὶ πόδας ἔσφιγγεν κατὰ γαστέρος. ἐν δέ οἱ ἦτορ
πάλλετ' ἀηθείῃ, καὶ ἐπὶ χθόνα βούλετ' ἰδέσθαι.
δεινὰ δ' ἐπεστονάχιζε, φόβου κρυόεντος ἀνάγκῃ.
οὐρὴν μὲν πρῶτ' ἔπλασ' ἐφ' ὕδασιν ἠύτε κώπην
σύρων, εὐχόμενός τε θεοῖς ἐπὶ γαῖαν ἱκέσθαι.
ὕδασι πορφυρέοισιν ἐκλύζετο. πολλὰ δ' ἐβόα.
καὶ τοῖον φάτο μῦθον. ἀπὸ στόματος δ' ἀγόρευεν.

Οὐχ οὕτω νώτοισιν ἐβάστασε φόρτον ἔρωτος
ταῦρος, ὅτ' Εὐρώπην διὰ κύματος ἦγ' ἐπὶ Κρήτην.
ὡς ἔμ' ἐπιπλώσας ἐπινώτιον ἦγεν ἐς οἶκον
βάτραχος ὑψώσας ὠχρὸν δέμας ὕδατι λευκῷ.
ὕδρος δ' ἐξαπίνης ἀνεφαίνετο δεινὸν ὅραμα
ἀμφοτέροις. ὀρθὸν δ' ὑπὲρ ὕδατος εἶχε τράχηλον.
τοῦτον ἰδὼν κατέδυ φυσίγναθος οὔ τι νοήσας
οἷον ἑταῖρον ἔμελλεν ἀπολλύμεναι κατὰ λίμνην.
δῦ δὲ βάθος λίμνης, καὶ ἀλεύατο κῆρα μέλαιναν.
κεῖνος δ' ὡς ἀφέθη, πέσεν ὕπτιος εὐθὺς ἐς ὕδωρ.
χεῖρας δ' ἔσφιγγεν καὶ ἀπολλύμενος κατέτριζε.
πολλάκι μὲν κατέδυνεν ἐφ' ὕδατι, πολλάκι δ' αὖτε

λακτίζων



Et ĩ primis qdẽ gaudebat qñ ĩtuebat̃ uicinos pot
Natatiõe gaudẽs Physignathi. ſed qñ ĩa utiq; (t
Vndis purpureis ſubmergebat̃, mlt̃ũ lacrymabat̃
Inutilẽ pœnitẽtiã accuſabat. euellebat aũt comas,
Et pedes ſtringebat per uentrẽ. in illo autem cor.
Concutiebat̃ inſolẽtia. & in terrã uolebat uidere.
Vehemẽter ãt ĩgemiſcebat tĩoris frigidi neceſſita
Caudã qdẽ ĩ primis extẽdit ĩ aqs, tanq; remũ (te.
Trahens. ſupplicansq; deis in terram uenire,
Aquis purpureis ſubmergebat̃. mlt̃ũ ãt clamabat
Et talẽ dixit ſermonẽ. ab ore autẽ cõcionabatur.

Non ſic humeris portauit onus amoris
Taurus, quãdo Europã p̱ undã duxit in Cretã,
Vt me nauigans ſuperhumeralẽ duxit ad domũ
Rana, eleuans pallidum corpus aqua alba.
Hydr⁹ aũt ex ĩprouiſo apparebat horrẽdũ ſpecta
Vtriſq;, erectum ſup̱ aquã habebat collũ. (culũ
Hũc uidẽs ĩgreſſ⁹ ẽ Phyſignath⁹, nõ qcq; ĩtelligẽs
Qualem ſocium futurus erat perdere per lacum.
Ingreſſ⁹ ẽ ãt p̱fũditatẽ lac⁹, & euitauit p̱cã nigrã.
Ille aũt ut relictus eſt, cecidit ſupin⁹ ſtatĩ in aquã.
Manus autẽ ſtringebat, & moriens ſtridebat.
Sæpe quidẽ ingrediebat̃ in aquã. ſæpe aũt rurſus

Calcitrans

λακτίζων ἀνέδυνε. μόρον δ' οὐκ ἦν ὑπαλύξαι.
δευόμεναι δὲ τρίχες πλεῖστον βάρος εἷλκον ἐπ' αὐτῷ
ὕδασι δ' ὀλλύμενος, τοίους ἐφθέγξατο μύθους.

Οὐ λήσεις γε θεοὺς φυσίγναθε ταῦτα ποιήσας.
ναυηγὸν ῥίψας ἀπὸ σώματος ὡς ἀπὸ πέτρης.
οὐκ ἄν μου κατὰ γαῖαν ἀμείνων ἦσθα κάκιστε.
παγκρατίῳ τε, πάλῃ τε, καὶ εἰς δρόμον. ἀλλὰ πλανήσας
εἰς ὕδωρ μ' ἔρριψας, ἔχει θεὸς ἔκδικον ὄμμα.
ποινὴν σὺ τίσεις μυῶν στρατῷ, οὐδ' ὑπαλύξεις.

Ταῦτ' εἰπὼν, ἀπέπνευσεν ἐν ὕδασι. τὸν δὲ κατεῖδε
λειχοπίναξ ὄχθῃσιν ἐφεζόμενος μαλακῇσι.
δεινὸν δ' ἐξολόλυξε, δραμὼν δ' ἤγγειλε μύεσσιν.
ὡς δ' ἔμαθον τὴν μοῖραν, ἔδυ χόλος αἰνὸς ἅπαντας.
καὶ τότε κηρύκεσσιν ἑοῖς ἐκέλευσαν ὑπ' ὄρθρον.
κηρύσσειν ἀγορήνδ' ἐς δώματα τρωξάρταο
πατρὸς δυστήνου ψιχάρπαγος, ὃς κατὰ λίμνην
ὕπτιος ἐξήπλωτο νεκρὸν δέμας, οὐδὲ παρ' ὄχθαις
ἦν ἤδη τλήμων, μέσσῳ δ' ἐπενήχετο πόντῳ.
ὡς δ' ἦλθον σπεύδοντες ἅμ' ἠοῖ, πρῶτος ἀνέστη
τρωξάρτης ἐπὶ παιδὶ χολούμενος, εἶπέ τε μῦθον.

Ὦ φίλοι. εἰ καὶ μοῦνος ἐγὼ κακὰ πολλὰ πέπονθα,
ἐκ βατράχων, ἡ μοῖρα κακὴ πάντεσσι τέτυκται.
εἰμὶ δ' ἐγὼ δύστηνος, ἐπεὶ τρεῖς παῖδας ὄλεσσα.

καὶ



Calcitrans egrediebat̄,mortē aūt nō erat euitare.
Madētes aūt pili plurimū pōdus trahebāt ī ipso.
Aquis autē periens tales loquutus est sermones.

Nō latebis utiq; deos Physignathe hæc faciēs,
Naufragum iaciens à corpore ut à petra.
Non certe me per terram melior eras o pessime,
Pancratioq; luctaq;,& ad cursum,sed decipiens
In aquam me proiecisti. habet deus iustū oculū,
Pœnam tu solues muriū exercitui,neq; euitabis.

Hæc locutus expirauit in aquis. hunc aūt uidit
Lichopinax,ripis insidens mollibus. (ribus.
Vehemēter aūt ullulauit.currēs aūt ānūciauit mu
Vt āt didicerē mortē, īgressa ē ira pniciosa uniuer
Et tūc pconibus suis iusserūt sub diluculū (sos,
Proclamare ad cōcionē,in domos Troxartæ
Patris infelicis Psicharpagis, qui per lacum
Supin⁹ natabat,mortuū corpus.neq; iuxta ripas
Erat iam miser. medio autem natabat ponto.
Vt āt uenerūt festinātes cū aurora,primū surrexit
Troxartes ob filium iratus, dixitq; sermonem.

O amici, tametsi solus ego mala multa passus
Ex ranis,sors mala omnibus facta est.
Sum autē ego infelix,postq̄ treis filios perdidi.

Et quidē

Λειχοπίναξ ἀπὸ τ λείχειν τὰ πινάκια, qd' lambat paropsides & q̃dras.

καὶ τὸν μὲν πρῶτόν γε κατέκτανεν ἁρπάξασα
ἔχθιστη γαλέη τρώγλης ἔκποθεν ἐλθοῦσα.
τὸν δ' ἄλλον πάλιν ἄνδρες ἀπηνέες ἐς μόρον ἦξαν,
καινοτέραις τέχναις ξύλινον δόλον ἐξευρόντες,
ἣν παγίδα καλέουσι μυῶν ὀλέτειραν ἐοῦσαν.
ὁ τρίτος ἦν ἀγαπητὸς ἐμοὶ καὶ μητέρι κεδνῇ.
τοῦτον ἀπέπνιξεν φυσίγναθος ἐς βυθὸν ἄξας.
ἀλλ' ἄγεθ' ὁπλισόμεσθα, καὶ ἐξέλθωμεν ἐπ' αὐτοὺς
σώματα κοσμήσαντες ἐν ἔντεσι δαιδαλέοισι.

Ταῦτ' εἰπὼν, ἀνέπεισε καθοπλίζεσθαι ἅπαντας.
καὶ τοὺς μὲν ῥ' ἐκόρυσσεν ἄρης πολέμοιο μεμηλώς.
κνημῖδας μὲν πρῶτα περὶ κνήμῃσιν ἔθηκαν.
ῥίξαντες κυάμους χλωροὺς, εὖ τ' ἀσκήσαντες.
οὓς αὐτοὶ διὰ νυκτὸς ἐπιστάντες κατέτρωξαν.
θώρηκας δ' εἶχον καλαμοστεφέων ἀπὸ βυρσῶν.
οὓς γαλέην δείραντες, ἐπισταμένως ἐποίησαν.
ἀσπὶς δ' ἦν λύχνου τὸ μεσόμφαλον. ἡ δέ νυ λόγχη,
εὐμήκεις βελόναι, παγχάλκεον ἔργον ἄρηος.
ἡ δὲ κόρυς, τὸ λέπυρον ἐπὶ κροτάφοισι καρύου.
οὕτω μὲν μύες ἦσαν ἔνοπλοι. ὡς δ' ἐνόησαν
βάτραχοι, ἐξανέδυσαν ἀφ' ὕδατος, εἰς δ' ἕνα χῶρον
ἐλθόντες, βουλὴν ξύναγον πολέμοιο κακοῖο.
σκεπτομένων δ' αὐτῶν πόθεν ἡ στάσις, ἢ τίς ὁ θρύλλος,

κῆρυξ



Et quidem primum utiq; occidit rapiens,
Inimicissimus felis foramen extra capiens.
Alium aūt rursus uiri crudeles ad mortē duxerūt
Vanioribus artibus ligneū dolum inuenientes,
Quā decipulā uocant muriū perditricē existētē.
Qui tertius erat dilectus mihi & matri inclytæ,
Hunc suffocauit Physignathus in ꝓfundū ducēs.
Sed agedum armemur, & exeamus in ipsas,
Corpora ornantes in armis uarijs.
Hæc loquutus persuasit armari uniuersos.
Hos quidē utiq; armauit Mars belli curā habēs.
Tibiaria arma quidē primū circa tibias posuerūt,
Frangentes fabas uirides, beneq; aptantes,
Quas ipsi per noctem stantes comederunt.
Thoraces aūt habebāt calamis circūdatis à corijs,
Quos felem excoriantes scienter fecerunt.
Clypeus aūt erat lucernæ medi⁹ umbilic⁹, at certe
Lōgæ acus omnino æreū opus Martis. (lancea
At cassis testa in temporibus nucis.
Sic quidē mures erant armati. ut aūt intellexerūt
Ranæ egressæ sunt ab aqua, in unum locum
Venientes consilium congregauerunt belli mali.
Cōsyderatib⁹ aūt ipsis unū seditio, uel qs tumultus,

Præco

κῆρυξ ἐγγύθεν ἦλθε φέρων σκῆπτρον μετὰ χερσί.
Τυρογλύφου υἱὸς μεγαλήτορος Ἐμβασίχυτρος
ἀγγέλων πολέμοιο κακὴν φάτιν, εἶπέ τε μῦθον.
Ὦ βάτραχοι. μύες ὔμμιν ἀπειλήσαντες ἔπεμψαν
εἰπεῖν ὁπλίζεσθαι ἐπὶ πόλεμόν τε μάχην τε.
εἶδον γὰρ καθ' ὕδωρ Ψιχάρπαγα ὃν κατέπεφνεν
ὑμέτερος βασιλεὺς Φυσίγναθος. ἀλλὰ μάχεσθε
οἵτινες ἐν βατράχοισιν ἀριστῆες γεγάατε.
Ὣς εἰπὼν ἀπέφηνε. λόγος δ' εἰς οὔατα μυῶν
εἰσελθὼν ἐτάραξε φρένας βατράχων ἀγερώχων.
μεμφομένων δ' αὐτῶν Φυσίγναθος εἶπεν ἀναστάς.
Ὦ φίλοι. οὐκ ἔκτεινον ἐγὼ μῦν, οὐδὲ κατεῖδον
ὀλλύμενον. πάντως ἐπνίγη παίζων παρὰ λίμνην,
νήξεις τὰς βατράχων μιμούμενος. οἱ δὲ κάκιστοι
νῦν ἐμὲ μέμφονται τὸν ἀναίτιον. ἀλλ' ἄγε βουλὴν
ζητήσωμεν, ὅπως δολίους μύας ἐξολέσωμεν.
τοὶ γὰρ ἐγὼν ἐρέω ὥς μοι δοκεῖ εἶναι ἄριστα.
σώματα κοσμήσαντες, ἔνοπλοι στῶμεν ἅπαντες,
ἄκροις πὰρ χείλεσιν ὅπου κατάκρημνος ὁ χῶρος.
ἡνίκα δ' ὁρμηθέντες ἐφ' ἡμέας ἐξέλθωσι,
δραξάμενοι κορύθων, ὅς τις σχεδὸν ἀντίον ἔλθοι,
ἐς λίμνην αὐτοὺς σὺν ἔντεσιν εὐθὺ βάλωμεν.
οὕτω γὰρ πνίξαντες ἐν ὕδασι τοὺς ἀκολύμβους,

στήσομεν



Præco prope uenit, ferens ſceptrū in manibus
Tyroglyphi ſilius magnanimi Embaſichytros,
Nuncians belli malā famam, dixitq́; ſermonem.
O ranæ, mures uobis minitantes miſerunt
Dicere armari ad bellumq́; pugnamq́;.
Viderunt em̄ per aquā Pſicharpaga, quē occidit
Veſter rex Phyſignathus. ſed pugnate
Quæcunq́; inter ranas egregiæ geniti eſtis.
Sic locutus diſparuit. ſermo aūt in aures muriū
Ingrediens, cōturbauit mentes ranarū ſuperbarū.
Accuſantib⁹ aūt ipſis Phyſignathus dixit ſurgēs.
O amici, non occidi ego murem, neq́; uidi
Pereuntē. omnino ſuffocatus eſt ludēs iuxta lacū,
Natatus ranarum imitatus. at peſſimi
Nunc me accuſant inculpabilē. ſed age conſilium
Inquiramus, ut doloſos mures deperdamus.
Etenim ego dico, ut mihi apparent eſſe optima,
Corpora ornantes armati ſtemus uniuerſi
Summas iuxta ripas, ubi præceps locus.
Quando autē impetum faciētes in nos, uenerint
Accipiētes à galeis quicūq́; ꝓpè obuius uenerit,
In lacum ipſos cum armis ſtatim deijciamus.
Sic enim ſuffocantes in aquis experteis natandi,

Τυρογλύφου, hoc eſt, excauatoris caſeorū. Ἐμβασίχυτρος, quod ſoleat in ollas irrepere.

Conſtituemus

στήσομεν εὐθύμως τὸ μυοκτόνον ὧδε τρόπαιον.
Ὣς ἄρα φωνήσας, ὅπλοις ἐνέδυσεν ἅπαντας.
φύλλοις μὲν μαλαχῶν κνήμας ἑὰς ἀμφεκάλυψαν
θώρηκας δ' εἶχον χλοερῶν πλατέων ἀπὼ τεύτλων.
φύλλα δὲ τῶν κραμβῶν εἰς ἀσπίδας εὖ ἤσκησαν.
ἔγχος δ' ὀξύσχοινος ἑκάστῳ μακρὸς ἀρήρει.
καὶ κόρυθες κοχλιῶν λεπτῶν κρᾶατ' ἀμφεκάλυπτον.
φραξάμενοι δ' ἔστησαν ἐπ' ὄχθαις ὑψηλῇσι,
σείοντες λόγχας, θυμοῦ δ' ἔπλητο ἕκαστος.
Ζεὺς δὲ θεοὺς καλέσας εἰς οὐρανὸν ἀστερόεντα,
καὶ πολέμου πληθὺν δείξας κρατεροὺς τε μαχητὰς
πολλοὺς καὶ μεγάλους, ἠδ' ἔγχεα μακρὰ φέροντας,
οἷος κενταύρων στρατὸς ἔρχεται ἠδὲ γιγάντων,
ἡδὺ γελῶν ἐρέεινε. τίνες βατράχοισιν ἀρωγοί,
ἢ μυσὶν ἀθανάτων; καὶ Ἀθηναίην προσέειπεν.
Ω θύγατερ. μυσὶν ἦ ῥ' ἐπαλεξήσουσα πορεύσῃ;
καὶ γὰρ σοῦ κατὰ νηὸν ἀεὶ σκιρτῶσιν ἅπαντες,
κνίσῃ τερπόμενοι, καὶ ἐδέσμασιν ἐκ θυσιάων.
Ὣς ἄρ' ἔφη κρονίδης, τὸν δὲ προσέειπεν ἀθήνη.
ὦ πάτερ. οὐκ ἄν πώποτ' ἐγὼ μυσὶ τειρομένοισιν
ἐλθοίμην ἐπ' ἀρωγός, ἐπεὶ κακὰ πολλά μ' ἔοργαν.
στέμματα βλάπτοντες, καὶ λύχνους εἵνεκ' ἐλαίου.
τοῦτο δέ μου λίην ἔδακε φρένας, οἷον ἔρεξαν.





Cõſtituemus ſtatim muriũ occiſorũ hic tropheũ.
Sic certe loquutus, armis induit uniuerſos.
Folijs q̄dẽ maluarũ tibias ſuas circũcooperierunt.
Thoraces autẽ habuerũt uiridibus latis à corijs. à betis
Folia autẽ caulium in clypeos bene aptauerunt.
Lãcea aũt acutusiũcus unicuiq; lõgus aptatꝰ erat.
Et galeæ cocleis ſubtilibꝰ capita circũcooperiebãt.
Circũdantes autem ſteterunt in ripis altis
Cõquaſſantes lanceas.aĩo aũt plenꝰerat unuſqſq;.
Iuppiter autem deos uocans in cælũ aſtriferum,
Et belli multitudinẽ oñdẽs,potẽtesq; pugnatores
Multos & magnos,& lanceas longas ferentes,
Qualis Centaurorũ exercitus procedit & gigãtũ.
Suauiter ridens interrogabat,q̄ ranis auxiliatores
Vel muribꝰ,immortaliũ: & Palladẽ allocutus eſt.
O filia. muribus nunquid auxiliatura ibis?
Etenĩ tuũ p̄ templũ ſemp̄ exultãt uniuerſi mures,
Odore delectati & cibarijs ex ſacrificijs.
Sic certe dixit Saturniꝰ. hũc aũt allocuta ẽ Pallas.
O pater, nõ certe unq̃ ego muribus cõſumptis
Venirẽ auxiliatrix,qm̃ mala multa mihi fecerũt,
Coronas deſtruentes & lucernas cauſa olei.
Hoc aũt meas ualde momordit mẽtes q̃le fecerũt.

πέπλον μου κατέτρωξαν ὃν ἐξύφηνα καμοῦσα
ἐκ ῥοδάνης λεπτῆς, καὶ στήμονα λεπτὸν ἔνησα.
τρώγλας τ' ἐμποίησαν, ὁ δ' ἠπητής μοι ἐπέστη,
καὶ πράσσει με τόκους, τούτου χάριν ἐξώργισμαι.
χρησαμένη γὰρ ὕφηνα, καὶ οὐκ ἔχω ἀνταποδοῦναι.
ἀλλ' οὐδ' ὣς βατράχοισιν ἀρηγέμεν οὐκ ἐθελήσω.
εἰσὶ γὰρ οὐδ' αὐτοὶ φρένας ἔμπεδοι. ἀλλά με πρώτην
ἐκ πολέμου ἀνιοῦσαν, ἐπεὶ λίην ἐκοπώθην
ὕπνου δευομένην οὐκ εἴασαν θορυβοῦντες
οὐδ' ὀλίγον καταμῦσαι. ἐγὼ δ' ἄϋπνος κατεκείμην
τὴν κεφαλὴν ἀλγοῦσα, ἕως ἐβόησεν ἀλέκτωρ.
ἀλλ' ἄγε παυσώμεσθα θεοὶ τούτοισιν ἀρήγειν,
μήκε τις ὑμμείων τρωθῇ βέλει ὀξυόεντι.
εἰσὶ γὰρ ἀγχέμαχοι, καὶ εἰ θεὸς ἀντίος ἔλθοι:
πάντες δ' οὐρανόθεν τερπώμεθα δῆριν ὁρῶντες.
Ὣς ἄρ' ἔφη. τῇ δ' αὖτε πεπείθοντο θεοὶ ἄλλοι
πάντες. ὁμῶς δὲ ἀολλέες ἤλυθον εἰς ἕνα χῶρον.
κὰδ δ' ἦλθον κήρυκε τέρας πολέμοιο φέροντε.
καὶ τότε κώνωπες μεγάλας σάλπιγγας ἔχοντες,
δεινὸν ἐσάλπιζον πολέμου κτύπον. οὐρανόθεν δὲ
Ζεὺς κρονίδης βρόντησε τέρας πολέμοιο κακοῖο.
Πρῶτος δ' ὑψιβόας λειχήνορα οὔτασε δουρὶ
ἑσταότ' ἐν προμάχοις κατὰ γαστέρα εἰς μέσον ἧπαρ,

κὰδ δ'



Peplum meũ corroſerunt, quod texui laborans
Ex trama ſubtili, & ſtamen ſubtile neui,
Foraminaq; fecerunt. at ſutor mihi inſtitit,
Exigit à me uſuras. huius gratia irata ſum.
Mutuata em̃ ſubtextũ, & non habeo reſtituere.
Sed neq; ſic ranis auxiliari non uelim.
Sunt em̃ neq; ipſæ mentibus firmæ. ſed me primũ
Ex bello redeunte, poſtq; ualde defatigata fui,
Somno indigentẽ non permiſerũt tumultuantes
Neq; parũ oculos deflectere. ego at inſonis iacebã
Caput dolens, donec clamauit gallus gallinaceus.
Sed age ceſſemus dei ijs auxiliari.
Ne utiq; aliquis ueſtrum uulneretur telo acuto.
Sũt eĩ cominuspugnãtes etiã ſi de⁹ cõtra ueniret.
Omnes autẽ de cælo delectemur litem uidentes.
Vt certe dixit, huic autem poſt paruerunt dei alij.
Omnes ſimul autẽ collecti uenerunt in unũ locũ.
At uenerũt præcones duo, ſignũ belli feretes.
Et tunc culices magnas tubas habentes,
Vehemẽter tuba clãgebãt belli ſtrepitũ. cælit⁹ aũt
Iuppiter Saturnius intonuit ſignum belli mali.
Prim⁹ aũt altecłamãs Lichenorẽ uulnerauit lãcea
Stantẽ inter ꝓpugnatores ꝑ uẽtrẽ in mediũ epar,

Exẽpiar antiquũ πρώτην habet, non πρῶτον, id ẽ, paulo ante.

Λειχήνορα, a lambẽda cauda.

6 3 Concidit

κὰδ δ' ἔπεσεν πρηνὴς, ἁπαλὰς δ' ἐκόνισεν ἐθείρας.
τρωγλοδύτης δὲ μετ' αὐτὸν ἀκόντισε πηλείωνα.
πῆξεν δ' ἐν στέρνῳ στιβαρὸν δόρυ, τὸν δὲ πεσόντα
εἷλε μέλας θάνατος, ψυχὴ δ' ἐκ σώματος ἔπτη.
σευτλαῖος δ' ἄρ' ἔπεφνε βαλὼν κέαρ ἐμβασίχυτρον.
ἀρτοφάγος δὲ πολύφωνον κατὰ γαστέρα τύψεν.
ἤριπε δὲ πρηνής. ψυχὴ δὲ μελέων ἐξέπτη.
λιμνόχαρις δ' ὡς εἶδεν ἀπολλύμενον πολύφωνον
τρωγλοδύτην πέτρῳ μυλοειδεῖ τρῶσεν ἐπιφθὰς,
αὐχένα πὰρ μέσσον. τὸν δέ σκότος ὄσσ' ἐκάλυψεν.
λειχήνωρ δ' αὐτοῖο τιτύσκετο δουρὶ φαεινῷ,
καὶ βάλεν, οὐδ' ἀφάμαρτε καθ' ἧπαρ. ὡς δ' ἐνόησε
κραμβοφάγος ὄχθαισι βαθείαις ἔμπεσε φεύγων.
ἀλλ' οὐδ' ὡς ἀπέληγεν ἐν ὕδασιν. ἤλασε δ' αὐτόν.
κάππεσε δ' οὐκ ἀνένευσεν, ἐβάπτετο δ' αἵματι λίμνη
πορφυρέῳ. αὐτὸς δὲ παρ' ἠϊὸν ἐξετανύσθη.
χορδῇσι λιπαρῇσί τε πορνύμενος λαγόνεσσιν.
λιμνήσιος δ' ὄχθαισι τυρόγλυφον ἐξενάριξε.
πτερνογλύφον δὲ ἰδὼν καλαμίνθιος, εἰς φόβον ἦλθεν
ἥλατο δ' ἐς λίμνην φεύγων, τὴν ἀσπίδα ῥίψας.
ὑδρόχαρις δέ τε πέφνε πτερνοφάγον βασιλῆα,
χερμαδίῳ πλήξας κατὰ βρέγματος. ἐγκέφαλος δὲ
ἐκ ῥινῶν ἔσταζε. παλάσσετο δ' αἵματι γαῖα.





Cōcidit aūt pron⁹. teneras āt puluerulētas ferit co
Troglodytes āt post ipm iaculat⁹ ē Pileona (mas
Infixit aūt in pectore solidā lāceā. hūc aūt cadētē
Cepit nigra mors. aīa aūt ex corpore euolauit.
Seutlæ⁹ āt utiq; occidit ꝑcutiēs cor Embasichytrū
Artophagus autē Polyphonū ꝑ uentrē ꝑcussit.
Cecidit aūt supinus, anima aūt mēbris euolauit.
Lymnocharis aūt ut uidit pereuntē Polyphonū,
Troglodyten petra molari uulnerauit anticipās
Collū iuxta mediū. huic āt caligo ocl'os cooꝑuit.
Lichenor autē ipsius concuciebat lancea lucida:
Et percussit, neq; aberrauit ꝑ epar. ut aūt intellexit
Crambophagus, ripis profundis incidit fugiens.
Sed neq; sic cessauit in aquis, impulit autē ipsum.
Cōcidit aūt, nō respirauit. tingebat āt sanguie lac⁹
Purpureo. ipse autem iuxta littus extensus est,
Venis pinguibus incitatus intestinis.
Lymnisius autē in ripis Tyroglyphum spoliauit.
Pternoglyphū āt uidēs Calaminthi⁹ in timorē ue
Saltauit aūt in lacū fugiēs, clypeū iaciens. (nit.
Ydrocharis autem occidit Pternophagū regem,
Saxo percutiens per guttur. cerebrum autem
Ex naribus stillabat, polluebat aūt sanguine terra.

Τρωγλοδύτης, qꝑ ingrediatur rimas & foramia
Σευτλαῖος, a beta uel porro.
Ἀρτοφάγος, a uorando pane.
Πολύφωνον, quasi tu dicas multiuocā,
Κραμβοφάγος, a uorandis caulibus.
Λιμνήσιος, palustris.
Τυρόγλυφον, ab excauando caseo
Ὑδρόχαρις, qd' aq̄ gaudeat.

λειχοπίναξ δ' ἔκτεινεν ἀμύμονα βορβοροκοίτην
ἔγχει ἐπαΐξας. τὸν δὲ σκότος ὄσσ' ἐκάλυψε.
πρασσοφάγος δ' ἐσιδών, ποδὸς εἵλκυσε κνισσοδιώκτην
ἐν λίμνῃ δ' ἀπέπνιξε κρατήσας χειρὶ τένοντα.
ψιχάρπαξ δ' ἤμυν' ἑτάρων περὶ τεθνειώτων.
καὶ βάλε πηλούσιον κατὰ νηδύος εἰς μέσον ἧπαρ.
πίπτε δέ οἱ πρόσθεν, ψυχὴ δ' ἀϊδόσδε βεβήκει.
πηλοβάτης δ' ἐσιδών, πηλοῦ δράκα ῥίψεν ἐπ' αὐτόν.
καὶ τὸ μέτωπον ἔχρισε, καὶ ἐξετύφλου παρὰ μικρόν.
θυμώθη δ' ἄρα κεῖνος. ἑλὼν δέ γε χειρὶ παχείῃ
κείμενον ἐν πεδίῳ λίθον ὄβριμον ἄχθος ἀρούρης.
τῷ βάλε πηλοβάτην ὑπὸ γούνατα. πᾶσα δ' ἐκλάσθη
κνήμη δεξιτερή. πέσε δ' ὕπτιος ἐν κονίῃσι.
κραυγασίδης δ' ἤμυνε, καὶ αὖθις βαῖνεν ἐπ' αὐτόν.
τύψε μέσην δ' αὐτὸν κατὰ γαστέρα. πᾶς δέ οἱ εἴσω
ὀξύσχοινος δῦνε. χαμαὶ δ' ἐκχυτο ἅπαντα
ἔγκατ' ἐφελκομένῳ ὑπὸ δούρατι χειρὶ παχείῃ.
σιτοφάγος δ' ὡς εἶδεν ἐπ' ὄχθῃσιν ποταμοῖο
σκάζων ἐκ πολέμου ἀνεχάζετο. τείρετο δ' αἰνῶς.
ἥλατο δ' ἐς τάφρον, ὅππως φύγῃ αἰπὺν ὄλεθρον:
τρωξάρτης δ' ἔβαλεν φυσίγναθον ἐς πόδα ἄκρον.
ὦκα δὲ τειρόμενος ἐς λίμνην ἥλατο φεύγων.
τρωξάρτης δ' ὡς εἶδεν ἔθ' ἡμίπνουν προπεσόντα,

καὶ



Lichopiax ãt occidit irrephẽsibilẽ Borborocœtẽ
Lacca ipetũ faciẽs. obſcuritas aũt oclos coopuit.
Praſſiphagus aũt uidẽs pede traxit Cniſſodioctẽ
In lacu autem ſuffocauit tenens manu neruum.
Pſicharpax autẽ ultus eſt ſocijs mortuis.
Et percuſſit Peluſium ꝑ uentrẽ in medium epar.
Cecidit autem illi ante. anima aũt ad infernũ iuit.
Pelobates aũt uidẽs luti manipulũ iecit in ipſum.
Et frontem inunxit, & excæcabatur propemodũ.
Iratus eſt aũt certe ille capiens utiq; manu forti
Iacentẽ in cãpo lapidẽ põderoſum põdus terræ
Hoc ꝑcuſſit Pelobaten ſub genua. tota ãt fracta ẽ
Tibia dextra. cecidit autẽ ſupinus in puluerib us.
Craugaſides autẽ ult⁹ eſt, & rurſus ibat in ipſum.
Percuſſit mediũ aut ipm per uẽtrẽ. tot⁹ aũt ei itro
Acut⁹ iunc⁹ igrediebat̃. humi aũt effundebãt uni
Inteſtina, extracta à lancea manu graui. (uerſa
Sitophagus autem ut uidit in ripis fluminis,
Claudicãs ex bello recedebat. cõſuebat aũt ualde
Saltauit aũt in foſſam, ut aufugeret dirã perniciẽ.
Troxartes ãt ꝑcuſſit Phyſignathũ ĩ pedis ſũmita/ (tẽ.
Celeriter aũt cõſumpt⁹ in lacũ ſaltauit fugiẽs
Toxartes ãt ut uidit adhuc ſemiuiuũ, q ãn ceciderat

Βορβορο/κοίτην, quod in cœno iaceat.
Πρασσο/φάγος, a comedendo porro.
Κνισσοδι/ώκτην, quod nidorẽ in/ſequat̃.
Πηλοβά/της, ꝗ lutũ in/cedat:
Κραυγα/σίδης, ꝗ caulium ſpeciẽ re/ferat, nẽ pe colo/re.
Σιτοφά/γος, q́ꝫ cibos ab/ſumat.

καὶ οἱ ἐπέδραμεν αὖθις ἀποκτάμεναι μενεαίνων.
πρασσαῖος δ' ὡς εἶδεν ἔθ' ἡμίπνουν προπεσόντα,
ἦλθε διὰ προμάχων καὶ ἀκόντισεν ὀξέϊ σχοίνῳ.
οὐ δ' ἔρρηξε σάκος. σχέτο δ' αὐτοῦ δουρὸς ἀκωκή.
ἦν δέ τις ἐν μύεσσι νέος παῖς ἔξοχος ἄλλων,
ἀγχέμαχος φίλος υἱὸς ἀμύμονος ἀρτεπιβούλου
ὄρχαμος αὐτὸν ἄρη φαίνων κρατερὸς μεριδάρπαξ.
ὃς μόνος ἐν μύεσσιν ἀριστεύεσκε μάχεσθαι.
στῆ δὲ παρὰ λίμνην γαυρούμενος οἶος ἀπ' ἄλλων:
στεῦτο δὲ πορθήσειν βατράχων γένος αἰχμητάων.
καὶ νύκεν ἐξετέλεσσεν, ἐπεὶ μέγα οἱ σθένος ἦεν,
εἰ μὴ ἄρ' ὀξὺ νόησε πατὴρ ἀνδρῶν τε θεῶν τε.
καὶ τότ' ἀπολλυμένους βατράχους ᾤκτειρε κρονίων.
κινήσας δὲ κάρη, τοίην δ' ἐφθέγξατο φωνήν.

Ω πόποι. ἦ μέγα ἔργον ἐν ὀφθαλμοῖσιν ὁρῶμαι.
οὐ μικρόν μ' ἔπληξε μεριδάρπαξ ἢ κατὰ λίμνην
ἐναίρειν βατράχους βλεμεαίνων. ἀλλὰ τάχιστα
παλλάδα πέμψωμεν πολεμόκλονον ἠδὲ καὶ ἄρην.
οἵ μιν ἀποσχήσουσι μάχης κρατερόν περ ἐόντα.

Ως ἄρ' ἔφη κρονίδης. ἄρης δ' ἀπαμείβετο μύθῳ.
οὔτ' ἄρ' ἀθηναίης κρονίδη σθένος οὔτε ἄρηος
ἰσχύσει βατράχοισιν ἀρηγέμεν αἰπὺν ὄλεθρον.
ἀλλ' ἄγε πάντες ἴωμεν ἀρηγόνες, ἢ τὸ σὸν ὅπλον
κινείσθω



Et illi incurrit rurſus occidere deſyderans.
Praſſæ' ãt ut uidit adhuc ſemiuiuũ,q añ ceciderat
Venit p ꝓpugnatores, & iaculat' eſt acuto iũco,
Neq; fregit ſcutũ. tenebat aũt ipſius lanceæ acies.
Erat ãt qdã int murcs iuuenis fili'egregi' int alios
Comin'pugnãs char' fili'irrcphẽſibil' Artepibuli
Princeps ipm Martẽ ondẽs robuſt' Meridarpax
Qui ſolus inter mures dominabatur pugnando,
Stetit autẽ iuxta lacum elatus ſolus ab alijs.
Iactabat ãt depopulatũ ire ranarũ gen'iaculatricũ
Et certe perfeciſſet, qm̃ magnũ ipſi robur erat.
Niſi ſtatim intellexiſſet pater hominũq; deorũq;,
Et tũc pereũtes ranas miſeratus fuiſſet Saturnius.
Mouens aũt caput, talem locutus eſt uocem,

O Dij certe magnum opus in oculis uideo.
Non parum me ſtupefecit Meridarpax p lacum,
Trucidare ranas deſyderans.ſed celerrime
Palladẽ mittamus tumultuoſam ẽtiã & Martẽ,
Qui ipm arcebũt ã pugna robuſtũ q̃uis exiſtetẽ.
Sic certe locut' Iupiter.Mars ãt rñdebat ſermõe.
Neq; certe Palladis o Iupiter potẽtia,neq; Martis
Poterit ranis auxiliari diram perniciem.
Sed age omẽs eamus auxiliatores, uel tuũ iaculũ
Moueat

πρασσαῖ-ος, quod huius caulis colorem imitetur
Αρτεπι-βούλου, Muris cognomen, qđ pani inſidietur.
μεριδάρ-παξ, a rapiendis particulis.

κινείσθω μέγα τιτανοκτόνον ὀβριμοεργόν,
ᾧ τιτᾶνας πέφνες ἀρίστους ἔξοχα πάντων,
ἐγκέλαδόν τ' ἐπέδησας, ἰδ' ἄγρια φῦλα γιγάντων.
Ὣς ἄρ' ἔφη. κρονίδης δ' ἔβαλε ψολόεντα κεραυνόν.
πρῶτα μὲν ἐβρόντησε. μέγαν δ' ἐλέλιξεν ὄλυμπον.
αὐτὰρ ἔπειτα κεραυνὸν δειμαλέον διὸς ὅπλον
ἧκ' ἐπιδινήσας. ὁ δ' ἄρ' ἔπτατο χειρὸς ἄνακτος·
πάντας μὲν ῥ' ἐφόβησε βαλὼν βατράχους τε μύας τε.
ἀλλ' οὐδ' ὣς ἀπέληγε μυῶν στρατὸς, ἀλλ' ἔτι μᾶλλον
ἵετο πορθήσειν βατράχων γένος αἰχμητάων,
εἰ μὴ ἀπ' οὐλύμπου βατράχους ἐλέησε κρονίων.
ὅς ῥα τότε βατράχοισιν ἀρωγοὺς εὐθὺς ἔπεμψεν.
ἦλθον δ' ἐξαίφνης νωτάκμονες, ἀγκυλοχῆλαι,
λοξοβάται, στρεβλοί, ψαλιδόστομοι, ὀστρακόδερμοι,
ὀστοφυεῖς, πλατώωτοι, ἀποστίλβοντες ἐν ὤμοις,
βλαισοί, χειροτένοντες, ἀπὸ στέρνων ἐσορῶντες,
ὀκτάποδες, δικάρηνοι, ἀχειρέες, οἳ δὲ καλεῦνται
καρκίνοι. οἳ ῥα μυῶν οὐρὰς στομάτεσσιν ἔκοπτον,
ἠδὲ πόδας καὶ χεῖρας. ἀνεγνάμπτοντο δὲ λόγχαι.
οὓς καὶ ὑπέδδεισαν δειλοὶ μύες, οὐδ' ὑπέμειναν.
ἐς δὲ φυγὴν ἐτράποντο. ἐδύετο δ' ἥλιος ἤδη.
καὶ πολέμου τελετὴ μονοήμερος ἐξετελέσθη.

ΤΕΛΟΣ ΤΗΣ ΟΜΗΡΟΥ ΒΑΤΡΑΧΟΜΥΟΜΑΧΙΑΣ.



Moueatur magnū,qđ Titanas ſuſtulit,poteſopꝰ,
Quo Titanas occidiſti egregios ultra oēs. (gātū.
Enceladūq; tumltuoſeq; ligaſti,& agreſtia gn̄a gi
Sic certe dixit. Saturniꝰ āt iaculatꝰ ē ardēs fulmē.
Primū quidē intonuit. magnū aūt cōmouit cælū.
Sed poſtea fulmen terribile Iouis telum
Miſit īuoluēs.illud aūt certe euolauit à manu reg;
Oēſ qdē utiq; terruit iaculatꝰ,ranasq;muresq;(plꝰ
Sed neq; ſic ceſſauit muriū exercitꝰ,ſed adhuc am
Cupiebat depopulatū ire ranarū genꝰiaculatricū,
Niſi ab olympo ranas miſeratꝰ fuiſſet Saturnius.
Qui utiq; tūc ranis auxiliatores ilico miſit.(curuis
Venerīt āt ex īprouiſo hn̄tes īcudes ī tergo,ungul
Obliq̄ ingrediētes, tortuoſi,hn̄tes cortices ī ore,o
Oſſei natura,lati hūeros,rutilātes ī hūer(ſtripelleſ
Blæſi,neruoſis manibus, à pectoribus intuenteis,
Octopedes,bicipites,maībꝰ incapabiles.illi āt uo
Cācri.q utiq; muriū caudas oribꝰincidebāt (cant
Etiā pedes & manus.flectebant aūt lanceæ.
Quos & timuerūt miſeri mures, neq; ſuſtinuert.
In fugam aūt uertebant.occidebat autē ſol iam,
Et belli finis unius diei perfectus eſt.

FINIS HOMERI BATRACHOMYOMACHIAE.

Ἐπιτάφιον εἰς ὅμηρον Ἀντι-
πάτρου σιδωνίου.

τὰν μερόπων πειθὼ, τὸ μέγα στόμα, τὰν ἴσα μούσαις
  φθεγξαμέναν κεφαλὰν ὦ ξένε μαιονίδεω,
ἁ δ' ἔλαχον νασῖτις ἴου σπιλὰς. οὐ γὰρ ἐν ἄλλᾳ
  ἱερὸν, ἀλλ' ἐν ἐμοὶ πνεῦμα θανὼν ἔλιπεν.
ᾧ νεῦμα κρονίδαο τὸ παγκρατὲς, ᾧ καὶ ὄλυμπον,
  καὶ τὰν Αἴαντος ναύμαχον εἶπε βίαν,
καὶ τὸν ἀχιλλείοις φαρσαλίσιν ἕκτορα πώλοις
  ὀστέα δαρδανικῷ δρυπτόμενον πεδίῳ.
εἰ δ' ὀλίγα κρύπτω τὸν ταλίκον, ἴσθ' ὅτι κεύθει
  καὶ Θέτιδος γαμέταν ἁ βραχύβωλος ἴκος.

Εἰς τὸν αὐτόν.

Ενθάδε τὴν ἱερὰν κεφαλὴν κατὰ γαῖα καλύπτει
ἀνδρῶν ἡρώων κοσμήτορα θεῖον Ομηρον.

ΠΑΡΑ ΙΩΑΝΝΗ ΤΩ ΦΡΟΒΕΝΙΩ
ΕΝ ΛΑΜΠΡΑ ΤΗΣ ΓΕΡΜΑΝΙ-
ΑΣ ΒΑΣΙΛΕΙΑ, ΕΤΕΙ
Α. Φ. ΙΗ.
ΜΗΝΙ ΓΑΜΗΛΙΩΝ



Epitaphium in Homerum
Antipatri Sidonij.

Hominum ſuadelam, magnum os, æqua Muſis
  Locutū caput o hoſpes Mæonidæ .i. Homeri,
Hæc ſortita ſum inſularis Ii ſpelunca. nō cm̄ in alia
  Sacrum ſed in me ſpiritū uita functus reliquit.
Quo nutum Iouis omnipotens, quo & olympū,
  Et Aiacis naualem expreſſit uim,
Et ab Achilleis Theſſalicis Hectorem equabus
  Secundum oſſa in Græco laceratum ſolo.
Si autē parua, cælo tam magnū, ſcias quod cælat
  Et Thetidis maritū exiguigleba (.i. pua) Ios.

In eundem.

Conditur hoc tumulo uates diuinus Homerus,
  Herôum cecinit qui bene geſta ducum.

APVD IOANNEM FROBENIVM
IN INCLYTA GERMANI-
AE BASILEA. ANNO
M. D. XVIII.
MENSE IANVARIO.



# MVSAEVS POETA VETVSTISSIMVS,

De

Ero & Leandro.

Græce & Latine.

APVD INCLYTAM GERMANIAE BASILEAM.

# IO. FROBENIVS STVDIOSIS S. D.

MVSAEI Poetæ Græci de Erûs & Leandri iactatis amoribus dignißimũ carmẽ cũ interptatione latina, uobis in hoc dedimus typis nostris excusum, ut hinc deprehendere queatis, quantũ ex hoc Ouidius sit mutuatus in Leandri illa ad Erò epistola, ac altera ad Leandrum Erûs, Si modo ueteris illius Poetæ carmen hoc est. Nam sunt in doctis, qui Musæi negent uideri. Nos nihil pronunciamus, Sed cum Academicis ἐπέχομεν. Id nobis non uulgariter dolet, tam multa non in humanis tantum, sed & diuinis literis subdititia reperiri ac ψευδεπίγραφα. Hic autor mirus est in exprimẽdis amãtiũ affectibus, ut qui sit ubiq; decori sui pulchre memor. Quàm depingit graphice, cũ iuuenilem Leandri impotentiã & ardorẽ, tum Erûs muliebrem imbecillitatem: In uerbis nõ minus felix est, quæ & scite fingit, & cũ gratia rebus accõmodat. Aiunt Musæum Eumolpi filiũ fuisse, & primum, deorum genealogiam uersibus complexum, ac sphæram inuenisse. Bene Valete, & Frobenium amate. Apud inclytam Basileam, ex ædibus nostris. Sub Idus Ianuarias. An.

M. D. XVIII.



## ΜΑΡΚΟΥ ΜΟΥΣΟΥΡΟΥ ΤΟΥ ΚΡΗΤΟΣ.

Νηὸς ἔσω ἀνὰ σηκὸν. ἀγίνεον ἧχι θυηλὰς,
κυπρογενεῖ, σπένδοντες ἐτήσιον. αὐτὰρ ὁ τόξον,
οὖλος ἔρως βάσταζε. διοϊστεῦσαι δὲ μεμαώς.
ὀξέα δενδίλλεσκε. πικρὸν δ᾽ ἴθυνεν ὀϊστὸν,
μητρὸς ἐπ᾽ ἀρήτειραν ἐπισπέρχων δ᾽ ἐπελάσθη,
ἤπατι Λειάνδροιο κόρης φρένας αἶψα πορήσας.
ἀμφότεροι δὲ πόθου, αὐτῷ πεφορημένοι οἴστρῳ,
ἀλλήλων ἀπόναντο. γάμων δὲ συνίστορα λύχνον
λαθριδίων θήκαντο. σιδήρειον δὲ λελογχὼς,
αἷμα, πολυπλάγκτης προὔδωκε ποθεῦντας ἀέλλας.
καί σφε φάους μὲν ἄμερσεν, ἄμερσε δὲ καὶ φιλοτήτων.

### Τοῦ αὐτοῦ, Εἰς μουσαῖον:

Καὶ φρένας ἀδρήστεια θεῶν ἕλε, δὴ γὰρ ἀοιδαῖς,
στεῦτο λαχεῖν ἄρης. μοῦνος ἄποινα πόνων.
τοῦτο κλύων νεμέσησ᾽. ὅτ᾽ ἐοῖς ἐπενήνοθεν ἔργοις
ἀχλὺς ἀδήλω. ἀρόνς τ᾽ οὐχ ἅδεν ὕβριν ἔρως.
Μουσαίῳ δ᾽ ἐπέτελλεν. ὁ δ᾽ ἐκλήϊζε ποθεύντων
οἶστρον, ἀποδρέψαι παρθενίης κάλυκας.
ἀνείσθω δὲ μικρῇσιν ἐπιστίξας σελίδεσιν,
ὅσσ᾽ ὀλίγαις παίζων χερσὶν ἔοργεν ἔρως.

## ΜΟΥΣΑΙΟΥ ΤΑ ΚΑΤ' ΗΡΩ ΚΑΙ ΛΕΑΝΔΡΟΝ.

Εἰπὲ θεὰ κρυφίων ἐπιμάρτυρα λύχνον ἐρώτων.
καὶ νύχιον πλωτῆρα θαλασσοπόρων ὑμεναίων.
καὶ γάμον ἀχλυόεντα, τὸν, οὐκ ἴδεν ἄφθιτος ἠώς.
καὶ σηστὸν καὶ ἄβυδον ὅπῃ γάμος ἔννυχος ἡροῦς.
νηχόμενόν τε λέανδρον ὁμοῦ, καὶ λύχνον ἀκούω
λύχνον ἀπαγγέλλοντα διακτορίην ἀφροδίτης.
ἡροῦς νυκτιγάμοιο γαμοστόλον ἀγγελιώτην.
λύχνον ἔρωτος ἄγαλμα. τὸν, ὤφελεν αἰθέριος ζεὺς,
ἐννύχιον μετὰ ἄεθλον ἄγειν ἐφ' ὁμήγυριν ἄστρων.
καί μιν ἐπικλῆσαι νυμφοστόλον ἄστρον ἐρώτων.
ὅττι πέλεν συνέριθος ἐρωμανέων ὀδυνάων.
ἀγγελίην δ' ἐφύλαξεν ἀκοιμήτων ὑμεναίων
πρὶν χαλεπῇν πνοιῇσιν ἀήμεναι ἐχθρὸν ἀήτην
ἀλλ' ἄγε μοι μέλποντι μίαν ξυνάειδε τελευτὴν
λύχνου σβεννυμένοιο καὶ ὀλλυμένοιο λεάνδρου.

Σηστὸς ἔην καὶ ἄβυδος ἐναντίον ἐγγύθι πόντου,
γείτονές εἰσι πόληες. ἔρως δ' ἀνὰ τόξα τιταίνων,
ἀμφοτέρῃς πτολίεσσιν ἕνα ξυνέηκεν ὀϊστὸν,
ἠΐθεον φλέξας καὶ παρθένον. οὔνομα δ' αὐτῶν
ἱμερόεις τε λέανδρος ἔην καὶ παρθένος ἡρώ,
ἡ μὲν, σηστὸν ἔναιεν. ὁ δὲ, πτολίεθρον ἀβύδου,
ἀμφοτέρων πτολίων περικαλλέες ἀστέρες ἄμφω





## MVSÆI DE ERO ET LEANDRO.

Dic dea occltorū teſtē lucernā amorū, (ptiarū
Et nocturnū natatorē p mare traſeūtiū nu-
Et coitū teēbroſū, quē n̄ uidit icorruptibil' aurora,
Et Seſtum & Abydū, ubi nuptiæ nocturnæ Erūs
Natanteq; Leandrum ſimul & lucernam audio,
Lucernam annunciantem nuncium Veneris,
Erūs nocte nubētis nuptias ornantē nunciū. (pit
Lucernā amoris ſimulacrū, quā debuit ætheri' Iu
Nocturnū poſt officiū ducere ad cōſortiū aſtro℞
Ac ipſam appellaſſe ſponſas ornantē ſtellā amorū
Quoniā fuit miniſtra amatoriarum curarum,
Nunciumq; ſeruauit inſomnium nuptiarum.
Anteq; moleſtū flatibus flaret inimicus uentus.
Sed eia mihi canenti unum concine finem
Lucernæ extinctæ, & pereuntis Leandri.

Seſtus erat & Abydus è regione, prope mare
Vicinæ ſunt urbes. Cupido autē arcum tendens,
Ambabus urbibus unam cōmiſit ſagittam
Iuuenem urens & uirginē. nomen uero eorum
Suauisq; Leander erat, & uirgo Erò.
Hæc qdē Seſtū habitabat, ille uero oppidū Aby/
Ambarū urbiū perpulchræ ſtellæ ambo, (di,

ἴκελοι ἀλλήλοισι. σὺ δ' εἴποτε κεῖθι περήσεις,
δίζεό μοι τινὰ πύργον, ὅπη ποτὲ Σηστιὰς Ἡρώ,
ἵστατο λύχνον ἔχουσα, καὶ ἡγεμόνευε Λεάνδρῳ.
δίζεο δ' ἀρχαίης ἁλιηχέα πορθμὸν Ἀβύδου
εἰσέτι που κλαίοντα μόρον, καὶ ἔρωτα Λεάνδρου.
ἀλλὰ πόθεν Λείανδρος Ἀβυδόθι δώματα ναίων
Ἡροῦς ἐς πόθον ἦλθε, πόθῳ δ' ἐνέδησε καὶ αὐτήν.
Ἡρὼ μὲν χαρίεσσα διοτρεφὲς αἷμα λαχοῦσα
Κύπριδος ἦν ἱέρεια. γάμων δ' ἀδίδακτος ἐοῦσα
πύργον ἀπὸ προγόνων παρὰ γείτονι ναῖε θαλάσσῃ.
ἄλλη Κύπρις ἄνασσα. σαοφροσύνῃ δὲ καὶ αἰδοῖ
οὐδέ ποτ' ἀγρομένῃσιν ἐνωμίλησε γυναιξίν.
οὐδὲ χορὸν χαρίεντα μετήλυθεν ἥλικος ἥβης
μῶμον ἀλευομένη ζηλήμονα θηλυτεράων.
καὶ γὰρ ἐπ' ἀγλαΐῃ ζηλήμονές εἰσι γυναῖκες.
ἀλλ' αἰεὶ Κυθέρειαν ἱλασκομένη Ἀφροδίτην,
πολλάκι καὶ τὸν ἔρωτα παρηγορέεσκε θυηλαῖς,
μητρὶ σὺν οὐρανίῃ, φλογερὴν τρομέουσα φαρέτρην.
ἀλλ' οὐδ' ὣς ἀλέεινε πυριπνείοντας ὀϊστούς.
δὴ γὰρ Κυπριδίη πανδήμιος ἦλθεν ἑορτή,
τὴν, ἀνὰ Σηστὸν ἄγουσιν Ἀδώνιδι καὶ Κυθερείῃ
πασσυδίῃ δ' ἔσπευδον ἐς ἱερὸν ἦμαρ ἱκέσθαι
ὅσσοι ναιετάεσκον ἁλιστεφέων σφυρὰ νήσων.
οἱ μὲν ἀφ' Αἱμονίης, οἱ δ' εἰναλίης ἀπὸ Κύπρου.

οὐδὲ



Similes inter se. tu uero si quando illac transibis,
Quære mihi qndā turrim, ubi quōdā Sestias Erò
Stabat lucernam habens, & dux erat Leandro.
Quære & antiquæ marisonum fretum Abydi,
Adhuc deflens mortem & amorem Leandri.
Verū unde Leander in Abydo domos habitans
Erꝰ ad amorē uenit, amore uero deuixit & ipam.
Erò elegans generosum sanguinem sortita,
Venerꝭ erat sacerdos. nuptiarū uero īperita cū eēt
Turrim à parētibus apud uicinū habitabat mare
Altera Venus regina. castitate uero & pudore
Nunq; collectarum cōmercio usa est mulierum,
Neq; tripudium elegans adiuit iuuenilis ætatis,
Liuorem euitans inuidum mulierum.
Nam ob pulchritudinem inuidæ sunt fœminæ.
Sed semper Cithream placans Venerem,
Sæpe & Cupidinem conciliabat libamentis,
Matre cum cælesti flammeam tremēs pharetrā.
Sed neq; sic euitauit ignitas sagittas.
Iamq; Venereum populare uenit festum,
Quod Sesti celebrant Adonidi & Veneri.
Cateruatimq; festinabant ad sacrum diem ire
Quotq̄t habitabāt maricircūdatarū extrēa īsularꝫ
Aliq̄ q̄dē ab Hæmonia, aliq̄ uero maritīa à Cypro

t 4 Neq;

οὐδὲ γυνή τις ἔμιμνεν ἐνὶ πτολίεσσι κυθήρων.
οὐ λιβάνου θυόεντος ἐνὶ πτερύγεσσι χορεύων
οὐ φρυγίης ναέτης. οὐ γείτονος ἀστὸς ἀβύδου.
οὐδέ τις ἠιθέων φιλοπάρθενος. ἦ γὰρ ἐκεῖνοι
αἰὲν ὁμαρτήσαντες ὅπη φάτις ἔστιν ἑορτῆς,
οὐ τόσον ἀθανάτων ἀγέμεν σπεύδουσι θυηλὰς
ὅσσον ἀγειρομένων διὰ κάλλεα παρθενικάων.
ἡ δὲ θεῆς ἀνὰ νηὸν ἐπώχετο παρθένος ἡρὼ
μαρμαρυγὴν χαρίεσσαν ἀπαστράπτουσα προσώπου
οἷά τε λευκοπάρηος ἐπαντέλλουσα σελήνη.
ἄκρα δὲ χιονέων φοινίσσετο κύκλα παρειῶν
ὡς ῥόδον ἐκ καλύκων διδυμόχροον. ἦ τάχα φαίης
ἡροῦς ἐν μελέεσσι ῥόδων λειμῶνα φανῆναι,
χροιὴ γὰρ μελέων ἐρυθαίνετο. νισσομένης δὲ
καὶ ῥόδα λευκοχίτωνος ὑπὸ σφυρὰ λάμπετο κούρης,
πολλαὶ δ' ἐκ μελέων χάριτες ῥέον. οἱ δὲ παλαιοὶ
τρεῖς χάριτας ψεύσαντο πεφυκέναι. εἷς δέ τις ἡροῦς
ὀφθαλμὸς γελόων ἑκατὸν χαρίτεσσι τεθήλει.
ἀτρεκέως ἱέρειαν ἐπάξιον εὕρετο κύπρις.
ὡς ἡ μὲν περὶ πολλὸν ἀριστεύσασα γυναικῶν,
κύπριδος ἀρήτειρα νέη διεφαίνετο κύπρις.
δῦσα δ' ἠιθέων ἁπαλὰς φρένας, οὐδέ τις ἀνδρῶν
ἦεν ὃς οὐ μενέαινεν ἔχειν ὁμοδέμνιον ἡρώ.
ἡ δ' ἄρα καλλιθέμεθλον ὅπη κατὰ νηὸν ἀλᾶτο
ἑσπόμενον νόον εἶχε καὶ ὄμματα καὶ φρένας ἀνδρῶν.





Neq; mulier ulla remansit in oppidis Cytherorũ.
Non Libani odoriferi in summitatibus saltans,
Non Phrygiæ incola, non uicinæ ciuis Abydi,
Neq; ullus iuuenis amator uirginum. certe em̃ illi
Semper secuti, ubi fama est festi,
Non tantũ imortaliũ afferre festinant sacrificia,
Quantũ aggregatarũ ob pulchritudines uirginũ.
Verum deæ per ædem incessit uirgo Erò,
Splendorem gratum emittens facie,
Qualis alba genas oriens Luna.
Summi uero niuearũ rubebant circuli genarum,
Vt rosa ex thecis bicolor. certe diceres
Erũs in membris rosarũ pratum apparere.
Colore em̃ membrorũ rubebat. Euntis uero Erũs
Etiã rosæ, cãdidã indutæ tunicã sub talis splẽdebãt
Mltæ uero ex mẽbris grãæ fluebãt, sed ãtiq (puellæ
Treis Gratias mẽtiti sunt esse. alteruter uero Erũs
Oculus ridens centum gratijs pullulabat.
Profecto sacerdotem dignam nacta est Venus.
Sic ea quidem plurimum antecellens fœminas
Veneris sacerdos noua apparebat Venus.
Subijt aũt iuuenũ teneras mentes, neq; ullus uir
Erat, qui non affectaret habere coniugem Erò.
Illa aũt benefundatã quacũq; per ædem uagabat,
Seqntẽ mẽte habebat & oculos & pcordia uirorũ

καί τις ἐν ἠιθέοισιν ἐθαύμασε. καὶ φάτο μῦθον.
καὶ σπάρτης ἐπέβην. λακεδαίμονος ἔδρακον ἄστ
ἧχι μόθον καὶ ἄεθλον ἀκούομεν ἀγλαϊάων.
τοίην δ᾽ οὔπω ὄπωπα νέην κεδνήν θ᾽ ἁπαλήν τε.
καὶ τάχα κύπρις ἔχει χαρίτων μίαν ὁπλοτεράων
παπταίνων ἐμόγησα. κόρον δ᾽ οὐχ εὗρον ὀπωπῆς.
αὐτίκα τεθναίην λεχέων ἐπιβήμενος ἡροῦς.
οὐκ ἂν ἐγὼ κατ᾽ ὄλυμπον ἐφιμείρω θεὸς εἶναι,
ἡμετέρην παράκοιτιν ἔχων ἐνὶ δώμασιν ἡρώ
εἰ δέ μοι οὐκ ἐπέοικε τεὴν ἱέρειαν ἀφάσσειν,
τοίην μοι κυθέρεια νέην παράκοιτιν ὀπάσσαις.
τοῖα μὲν ἠιθέων τις ἐφώνεεν, ἄλλοθεν ἄλλος
ἕλκος ὑποκλέπτων ἐπεμήνατο κάλλεϊ κούρης.
Αἰνοπαθὲς λείανδρε. σὺ δ᾽ ὡς ἴδες εὐκλέα κούρην
οὐκ ἔθελες κρυφίοισι καταξύειν φρένα κέντροις
ἀλλὰ πυριπνεύστοισι δαμεὶς ἀδόκητον ὀιστοῖς
οὐκ ἔθελες ζώειν περικαλλέος ἄμμορος ἡροῦς.
σὺν βλεφάρων δ᾽ ἀκτῖσιν ἀέξετο πυρσὸς ἐρώτων
καὶ κραδίη πάφλαζεν ἀνικήτου πυρὸς ὁρμῇ.
κάλλος γὰρ περίπυστον ἀμωμήτοιο γυναικὸς,
ὀξύτερον μερόπεσσι πέλει πτερόεντος ὀιστοῦ.
ὀφθαλμὸς δ᾽ ὁδός ἐστιν. ἀπ᾽ ὀφθαλμοῖο βολάων
ἕλκος ὀλισθαίνει καὶ ἐπὶ φρένας ἀνδρὸς ὁδεύει.
εἷλε δέ μιν τότε θάμβος. ἀναιδείη. τρόμος, αἰδώς.
ἔτρεμε



Atq; aliqs int̃ iuuenes admirat⁹ ē, & dixit uerbũ:
Et Sparten peragraui, Lacedæmonis uidi urbē
Vbi laborē & certamen audimus pulchritudinũ.
Talē aũt nondũ uidi puellā, prudenteq; teneraq;
Et forte Venus habet gratiarũ unam iuuenum.
Intuens defessus sũ. satietatē aũt nō iueni aspect⁹.
Statim moriar cubilia ubi conscenderim Erus.
Non ego in cælo cuperem deus esse,
Nostram uxorem habens domi Erò.
Si autē mihi non licet tuam sacerdotem tractare,
Talem mihi Cytherea puellam uxorē præbeas.
Talia iuuenum quisq; locutus est, undique alius
Vulnus cælans insaniuit pulchritudine puellæ.
Grauiapasse Leader, tu āt ut uidisti īclytā puellā
Nolebas occultis consumere mentem stimulis,
Sed ardentibus domitus inopinato sagittis.
Nolebas uiuere perpulchræ expers Erus.
Simul in oculorum radijs crescebat fax amorum,
Et cor feruebat inuicti ignis impetu.
Pulchritudo enim celebris immaculatæ fœminæ,
Acutior hominibus est ueloce sagitta.
Oculus uero uia est. ab oculi ictibus
Vulnus delabitur, & in præcordia uiri uiat.
Cepit āt ipm tūc stupor, īpudētia, tremor, pudor.
Tremuit

ἔτρεμε μὲν κραδίην. αἰδὼς δέ μιν εἶχεν ἁλῶναι.
θάμβεε δ' εἶδος ἄριστον, ἔρως δ' ἀπενόσφισεν αἰδῶ.
θαρσαλέως δ' ὑπ' ἔρωτος ἀναιδείην ἀγαπάζων,
ἠρέμα ποσσὶν ἔβαινε, καὶ ἀντίον ἵστατο κούρης.
λοξὰ δ' ὀπιπεύων δολερὰς ἐλέλιζεν ὀπωπὰς
νεύμασιν ἀφθόγγοισι παραπλάζων φρένα κούρης
αὐτὴ δ' ὡς ξυνέηκε πόθον δολόεντα λεάνδρου
χαῖρεν ἐπ' ἀγλαΐῃσιν. ἐν ἡσυχίῃ δὲ καὶ αὐτὴ
πολλάκις ἱμερόεσσαν ἑὴν ἀπέκρυψεν ὀπωπὴν
νεύμασι λαθριδίοισιν ὑπαγγέλλουσα λεάνδρῳ.
καὶ πάλιν ἀντέκλινεν. ὁ δ' ἔνδοθι θυμὸν ἰάνθη,
ὅτι πόθον ξυνέηκε καὶ οὐκ ἀπεσείσατο κούρη.
ὄφρα μὲν οὖν λείανδρος ἐδίζετο λάθριον ὥρην
φέγγος ἀναστείλασα κατήιεν ἐς δύσιν ἠώς.
ἐκ περάτης δ' ἀνέφαινε βαθύσκιος ἕσπερος ἀστήρ.
αὐτὰρ ὁ θαρσαλέως μετεκίαθεν ἐγγύθι κούρης
ὡς ἴδε κυανόπεπλον ἐπιθρώσκουσαν ὀμίχλην.
ἠρέμα μὲν θλίβων ῥοδοειδέα δάκτυλα κούρης
βυσσόθεν ἐστονάχιζεν ἀθέσφατον. ἡ δὲ σιωπῇ
οἷά τε χωομένη ῥοδέην ἐξέσπασε χεῖρα.
ὡς δ' ἐρατῆς ἐνόησε χαλίφρονα νεύματα κούρης
θαρσαλέως παλάμῃ πολυδαίδαλον ἕλκε χιτῶνα
ἔσχατα τιμήεντος ἄγων ἐπὶ κεύθεα νηοῦ.
ὀκναλέως δὲ πόδεσσιν ἐφέσπετο παρθένος ἡρὼ
οἷά περ οὐκ ἐθέλουσα. τοίην δ' ἀνενείκατο φωνήν.

θηλυτέροις



Tremuit qdē corde,pudor uō ipm tenebat captū
Obſtupuit uero pulchritudinē optimā. amor uero a/
Audacter āt ob amorē ipudētiā affectās (dēit pudore.
Tacite pedibus incedebat, & contra ſtetit puellā
Oblique uero intuēs doloſos torquebat oculos,
Nutibus mutis deuians mentem puellæ.
Ipſa uero ut ſenſit amorem doloſum Leandri,
Gauiſa eſt ob gratias ſuas. tacite uero & ipſa
Sepe gratam ſuam deiecit faciem,
Nutibus occultis innuens Leandro,
Et rurſus extulit. ille uero intus animo gaudebat,
Quod amorem ſenſit,& non renuit puella.
Dum igitur Leander quærebat occultā horam,
Lucem cōtrahens deſcendit ad occaſum aurora.
E regione autē apparuit umbroſa ueſperæ ſtella.
Sed ipſe audacter adibat prope puellam,
Vt uidit atratas inſurgere tenebras,
Tacite quidem ſtringens roſeos digitos puellæ,
Ex imo ſuſpirabat uehementer.illa uero ſilentio
Tanquam iraſcens roſeam retraxit manum.
Vt uero amatæ ſenſit inſtabileis nutus puellæ,
Audacter manu uariam traxit ueſtem,
Vltima uenerandi ducens ad penetralia templi.
Pigre autē pedibus ſequebatur uirgo Erō
Tanquam nolens,talemq; emiſit uocem

Fœmineis

θηλυτέροις ἐπέεσσιν ἀπειλείουσα λεάνδρῳ.
ξεῖνε. τί μαργαίνεις; τί με δύσμορε παρθένον ἕλκεις;
ἄλλην δεῦρο κέλευθον. ἐμὸν δ' ἀπόλειπε χιτῶνα.
μῆνιν ἐμῶν ἀπόειπε πολυκτεάνων γενετήρων.
κύπριδος οὔ σοι ἔοικε θεῆς ἱέρειαν ἀφάσσειν.
παρθενικῆς ἐπὶ λέκτρον ἀμήχανόν ἐστιν ἱκέσθαι.
τοῖα μὲν ἠπείλησεν ἐοικότα παρθενικῇσιν.
θηλείης δὲ λέανδρος ἐπεὶ κλύεν οἶστρον ἀπειλῆς
ἔγνω πειθομενάων σημήϊα παρθενικάων.
καὶ γὰρ ὅτ' ἠϊθέοισιν ἀπειλείωσι γυναῖκες,
κυπριδίων ὀάρων αὐτάγγελοί εἰσιν ἀπειλαί.
παρθενικῆς δ' εὔοδμον ἐΰχροον αὐχένα κύσσας,
τοῖον μῦθον ἔειπε πόθου βεβολημένος οἴστρῳ.
Κύπρι φίλη μετὰ κύπριν. ἀθηναίη μετ' ἀθήνην
οὐ γὰρ ἐπιχθονίῃσιν ἴσην καλέω σε γυναιξὶν,
ἀλλά σε θυγατέρεσσι διὸς κρονίωνος ἐΐσκω.
ὄλβιος ὅς σ' ἐφύτευσε, καὶ ὀλβίη ἣ τέκε μήτηρ,
γαστὴρ ἥ σ' ἐλόχευσε μακαρτάτη. ἀλλὰ λιτάων
ἡμετέρων ἐπάκουε. πόθου δ' οἴκτειρον ἀνάγκην.
κύπριδος ὡς ἱέρεια μετέρχεο κύπριδος ἔργα.
παρθένον οὐκ ἐπέοικεν ὑποδρήσσειν ἀφροδίτῃ.
παρθενικαῖς οὐ κύπρις ἰαίνεται. ἢν δ' ἐθελήσῃς
θεσμὰ θεῆς ἐρόεντα καὶ ὄργια πιστὰ δαῆναι,
ἔστι γάμος καὶ λέκτρα. σὺ δ' εἰ φιλέεις κυθέρειαν,
θελξινόων ἀγάπαζε μελίφρονα θεσμὸν ἐρώτων

σὸν



Fœmineis uerbis minans Leandro.
Hoſpes q̄d inſanis? q̄d me īfelix uirginē trahis?
Alia ito uia, meamq; dimitte ueſtem.
Iram meorum euita locupletum parentum.
Veneris non te decet deæ ſacerdotem ſollicitare.
Virginis ad lectum difficile eſt ire.
Talia minata eſt conuenientia uirginibus.
Fœmineaꝝ aūt Leāder ubi audiuit furorē minarum,
Senſit perſuaſarum ſigna uirginum.
Etenim cum iuuenibus minantur fœminæ,
Venereaꝝ cōſuetudinū p ſe nunciæ ſunt minæ.
Virginis aūt beneolēs benicoloris collū oſculatꝰ,
Tale uerbum locutus eſt, amoris ictus ſtimulo.
Venꝰ chara poſt Venerē, Minerua poſt Mineruā.
Nō em̄ terreſtribꝰ æqualē uoco te mulieribꝰ,
Sed te filiabus Iouis Saturnij aſſimilo.
Beatus q̄ te plantauit, & beata quæ peperit mater,
Venter qui te portauit, feliciſſimus. ſed preces
Noſtras exaudi, amoriſq; miſerere neceſſitatis.
Veneris ut ſacerdos exerce Veneris opera.
Virginem non decet adminiſtrare Veneri.
Virginibus Venus non gaudet. ſi uero uolueris
Inſtituta deæ deſyderāda, & ceremonias fidas diſcere,
Sūt nuptiæ & lecti. tu aūt ſi amas Venerē
Mulcentium mentem ama ſuauem legē amorū.

Tuumq;

σὸν δ' ἱκέτην με κόμιζε καὶ ἢν ἐθέλῃς παρακοίτην
τὸν, σοι ἔρως ἤγρευσεν ἑοῖς βελέεσσι κιχήσας.
ὡς θρασὺν ἡρακλῆα θοὸς χρυσόρραπις ἑρμῆς,
θητεύειν ἐκόμιζεν ἰαρδανίῃ ποτὶ νύμφῃ.
σοὶ δέ με κύπρις ἔπεμπε καὶ οὐ σοφὸς ἤγαγεν ἑρμῆς.
παρθένος οὔ σε λέληθεν ἀπ' ἀρκαδίης Ἀταλάντη,
ἥ ποτε μειλανίωνος ἐρασσαμένου φύγεν εὐνὴν
παρθενίης ἀλέγουσα. χολωσαμένης δ' ἀφροδίτης
τὸν πάρος οὐκ ἐπόθησεν, ἐνὶ κραδίῃ θέτο πάσῃ.
πείθεο καὶ σὺ φίλη, μὴ κύπριδι μῆνιν ἐγείρῃς.
ὣς εἰπὼν παρέπεισεν ἀναινομένης φρένα κούρης
θυμὸν ἐρωτοτόκοισι παραπλάγξας ἐνὶ μύθοις.
παρθενικὴ δ' ἄφθογγος ἐπὶ χθόνα πῆξεν ὀπωπὴν,
αἰδοῖ ἐρυθιόωσαν ὑποκλέπτουσα παρειὴν
καὶ χθονὸς ἔξεεν ἄκρον ἐπ' ἴχνεσιν, αἰδομένη δὲ
πολλάκις ἀμφ' ὤμοισιν, ἑὸν συνέεργε χιτῶνα.
πειθοῦς γὰρ τάδε πάντα προάγγελα. παρθενικῆς δὲ
πειθομένης ποτὶ λέκτρον, ὑπόσχεσις ἐστὶ σιωπή.
ἤδη καὶ γλυκύπικρον ἐδέξατο κέντρον ἐρώτων.
θέρμετο δὲ κραδίην γλυκερῷ πυρὶ παρθένος ἡρὼ
κάλλεϊ δ' ἱμερόεντος ἀνεπτοίητο Λεάνδρου.
ὄφρα μὲν οὖν ποτὶ γαῖαν ἔχεν νεύουσαν ὁμίχλην
τόφρα δὲ καὶ Λείανδρος ἐρωμανέεσσι προσώποις
οὐ κάμεν εἰσορόων ἁπαλόχροον αὐχένα κούρης.
ὀψὲ δὲ Λειάνδρῳ γλυκερὴν ἀνενείκατο φωνήν.

αἰδοῦς



Tuumq; supplicē me accipe,& si uolueris coiugē
Quē tibi Cupido uenatꝰ est,suis sagittis assecutꝰ
Sicut audacē Herculē uelox auriuirga Mercuriꝰ
Seruitū duxit Iardanen ad puellā.i.Omphalen.
Tibi uero me Venꝰ misit,& n̄ sapiēs adtulit Mer
Virgo non te latet ex Arcadia Atalanta, (curius.
Quæ olim Milanionis amantis fugit lectum,
Virginitatem curans. irata autem Venere,
Quem prius non amauit,in corde posuit toto,
Persuadere & tu chara,ne Veneri iram excites.
Sic fatus, persuasit recusantis mentem puellæ,,
Animum amoriperis errare faciens uerbis.
Virgo autē muta,in terram fixit aspectum,
Pudore rubefactam abscondens genam,
Et terræ rasit sūmitatē in uestigijs. cū puderet aūt
Sæpe circa humeros suam contraxit uestem.
Persuasionis em̄ hæc oīa prænuncia. uirginis autē
Persuasæ,ad lectum promissio est,silentium.
Iam & suauamarum suscepit stimulum amorum,
Vrebatur autem cor dulci igne uirgo Ero,
Pulchritudineq; suauis stupescebat Leandri.
Dū igit̄ ad trā habebat.s.nox,deꝰ,īclinatā caligi
Tunc & Leander amore furente uultu (nem,
Non laborabat uidens tenerum collum uirginis.
Sero uero Leandro suauem emisit uocem,

ii Verecundiæ

αἰδοῦς ὑγρὸν ἔρευθος ἀποστάζουσα προσώπου.
Ξεῖνε, τεοῖς ἐπέεσι τάχ' ἂν καὶ πέτρον ὀρίναις.
τίς σε πολυπλανέων ἐπέων ἐδίδαξε κελεύθους;
ὤ μοι, τίς σ' ἐκόμισεν ἐμὴν ἐς πατρίδα γαῖαν;
ταῦτα δὲ πάντα μάτην ἐφθέγξαο. πῶς γὰρ ἀλήτης
ξεῖνος ἐὼν καὶ ἄπιστος ἐμῇ φιλότητι μιγείης;
ἀμφαδὸν οὐ δυνάμεσθα γάμοις ὁσίοισι πελάσσαι
οὐ γὰρ ἐμοῖς τοκέεσσιν ἐπεύαδεν. ἢν δ' ἐθελήσῃς
ὡς ξεῖνος πολύφοιτος ἐμὴν ἐς πατρίδα μίμνειν,
οὐ δύνασαι σκοτόεσσαν ὑποκλέπτειν ἀφροδίτην.
γλῶσσα γὰρ ἀνθρώπων φιλοκέρτομος. ἐν δὲ σιωπῇ
ἔργον ὅπερ τελέει τις, ἐνὶ τριόδοισιν ἀκούει.
εἰπὲ δὲ μὴ κρύψῃς τεὸν οὔνομα καὶ σέο πάτρην.
οὐ γὰρ ἐμόν σε λέληθεν. ἐμοὶ δ' ὄνομα κλυτὸν Ἡρώ.
πύργος δ' ἀμφιβόητος ἐμὸς δόμος οὐρανομήκης
ᾧ ἔνι ναιετάουσα σὺν ἀμφιπόλῳ τινὶ μούνη
σηστιάδος πρὸ πόληος ὑπὲρ βαθυκύμονας ὄχθας
γείτονα πόντον ἔχω στυγεραῖς βουλῇσι τοκήων.
οὐδέ μοι ἐγγὺς ἔασιν ὁμήλικες· οὐδὲ χορεῖαι
ἠιθέων παρέασιν. ἀεὶ δ' ἀνὰ νύκτα καὶ ἠῶ
ἐξ ἁλὸς ἠνεμόεντος ἐπιβρέμει οὔασιν ἠχή.
ὣς φαμένη ῥοδέην ὑπὸ φάρεϊ κρύπτε παρειὴν
ἔμπαλιν αἰδομένη σφετέροις δ' ἐπεμέμφετο μύθοις.
Λείανδρος δὲ πόθου βεβολημένος ὀξέι κέντρῳ,
φράζετο πῶς κεν ἔρωτος ἀεθλεύσειεν ἀγῶνα.





Verecundiæ madidum ruborem stillans à facie.
Hospes tuis uerbis forsan & petram moueres.
Quis te uariorum uerborum docuit uias?
Hei mihi, quis te duxit meā ad patriam terram?
Hæc autē omnia frustra locutus es. quō eñ uag⁹
Hospes cum sis, & infidus meo amori misceearis?
Manifeste nō possum⁹ nuptijs legitimis cōiungi.
Non enim meis parentibus placet, si autem uoles
Vt hospes profugus mea in patria manere.
Non potes tenebrosam abscondere Venerem.
Lingua eñ hominū amica cōuicij. in silentio autē
Opus quod perficit aliquis, in triuijs audit.
Dic uero ne cæles tuum nomen, & tuam patriā.
Non eñ meū te lateat, mihi nomen inclytū Erò.
Turris autem circumsona, mea domus altissima,
Qua inhabitans cum ancilla quadam sola
Sestiensem ante urbem, supra profundas undas
Vicinum mare habeo inuisis consilijs parentum,
Neq; me prope sunt coetaneæ, neq; choreæ
Iuuenum adsunt, semper autem nocte & die
Ex mari uentoso insonat auribus sonitus.
Sic fata, roseam sub ueste cælabat genam
Rursus pudore affecta. suis aūt accusabat uerbis.
Leander aūt amoris percussus acuto stimulo,
Cogitabat quomodo amoris exerceret certamē.

ἄνδρα γὰρ αἰολόμητις ἔρως βελέεσσι δαμάζει,
καὶ πάλιν ἀνέρος ἕλκος ἀκέσσεται. οἷσι δ' ἀνάσσει
αὐτὸς ὁ πανδαμάτωρ βουληφόρος ἐστὶ βροτοῖσιν.
αὐτὸς καὶ ποθέοντι τότε χραίσμησε λεάνδρῳ.
ὀψὲ δ' ἀλαστήσας πολυμήχανον ἔννεπε μῦθον.
παρθένε σὸν δι' ἔρωτα καὶ ἄγριον οἶδμα περήσω
εἰ πυρὶ παφλάζοιτο καὶ ἄπλοον ἔσσεται ὕδωρ.
οὐ τρομέω βαρὺ χεῦμα τεὴν μετανεύμενος εὐνὴν
οὐ βρόμον ἠχήεντα βαρυγδούποιο θαλάσσης,
ἀλλ' αἰεὶ κατὰ νύκτα φορεύμενος ὑγρὸς ἀκοίτης
νήξομαι ἑλλήσποντον ἀγάῤῥοον. οὐχ ἕκαθεν γὰρ
ἀντία σεῖο πόληος ἔχω πτολίεθρον ἀβύδου.
μοῦνον ἐμοὶ ἕνα λύχνον ἀπ' ἠλιβάτου σέο πύργου
ἐκ περάτης ἀνάφαινε κατὰ κνέφας, ὄφρα νοήσας
ἔσσομαι ὁλκὰς ἔρωτος ἔχων σέθεν ἀστέρα λύχνον.
καί μιν ὀπιπτεύων οὐκ ὄψομαι δύοντα βοώτην.
οὐ θρασὺν ὠρίωνα καὶ ἄβροχον ὁλκὸν ἀμάξης
πατρίδος ἀντιπόροιο ποτὶ γλυκὺν ὅρμον ἱκοίμην.
ἀλλὰ φίλη πεφύλαξο βαρυπνείοντας ἀήτας
μή μιν ἀποσβέσσωσι αὐτίκα θυμὸν ὀλέσσω
λύχνον ἐμοῦ βιότοιο φαεσφόρον ἡγεμονῆα.
εἰ ἐτεὸν δὲ θέλεις ἐμὸν οὔνομα καὶ σὺ δαῆναι
οὔνομά μοι Λείανδρος ἐϋστεφάνου πόσις ἡροῦς.
Ὣς οἱ μὲν κρυφίοισι γάμοις συνέθεντο μιγῆναι,
καὶ νυχίην φιλότητα, καὶ ἀγγελίην ὑμεναίων,

λύχνου



Virum eñ uariusconsilijs amor sagittis domat,
Et rursus uiri uulnus medicaẽ.quib⁹ aũt dominaẽ
Ipse omnidomitor consultor est mortalibus.
Ipse etiam amanti auxiliatus est Leandro.
Tandem autẽ ingẽmẽs percalidũ dixit uerbum.
Virgo tuũ ,ppẽ amorẽ,& asperã undã trãsibo,
Si igni ferueat,& innauigabilis erit aqua.
Non timeo grauem undam tuum adiens cubile,
Non fremitũ resonantẽ grauis murmuris maris.
Sed semper p noctẽ portatus madidus maritus
Nauigabo Hellespontũ ualdefluẽte. nõ lõge eñ
Contra tuam urbem habeo oppidum Abydi.
Tantum mihi unam lucernã ab excelsa tua turri
E regione ostende in tenebris, ut intuens
Sim nauis Amoris,habens tuũ stellam lychnum.
Atq; ipsum aspiciens ne uideã occidentẽ Booten
Nec asperũ Orionẽ,ac ĩmadidã tractionẽ currus,
Patriæ obuiæ ad dulcem portum uenirem.
Sed chara caue grauiterflanteis uentos,
Ne ipsum extinguant, & statim animam perdam
Lychnum meæ uitæ luciferum ducem.
Si uere autem uis meum nomen & tu scire,
Nomen mihi Leander benecomptæ coiux Erûs.
Sic ij qdẽ cladestinis nuptijs cõponebat misceri,
Et nocturnam amicitiam, & nuncium nuptiarũ

u 3 Lucernæ

λύχνου μαρτυρίησιν ἐπιστώσαντο φυλάσσαι.
ἡ μὲν φάος τανύειν. ὁ δὲ κύματα μακρὰ περῆσαι
παννυχίδας δ' ἀνύσαντες ἀκοιμήτων ὑμεναίων
ἀλλήλων ἀέκοντες ἐνοσφίσθησαν ἀνάγκῃ.
ἡ μὲν ἑὸν ποτὶ πύργον. ὁ δ' ὀρφναίην ἀνὰ νύκτα
μή τι παραπλάζοιτο βαλὼν σημήια πύργου
πλῶε βαθυκρήπιδος ἐπ' εὐρέα δῆμον ἀβύδου.
παννυχίων δ' ὀάρων κρυφίους ποθέοντες ἀέθλους
πολλάκις ἠρήσαντο μολεῖν θαλαμηπόλον ὄρφνην.
ἤδη κυανόπεπλος ἀνέδραμε νυκτὸς ὀμίχλη
ἀνδράσιν ὕπνον ἄγουσα καὶ οὐ ποθέοντι λεάνδρῳ.
ἀλλὰ πολυφλοίσβοιο παρ' ἠιόνεσσι θαλάσσης
ἀγγελίην ἀνέμιμνε φαεινομένων ὑμεναίων,
μαρτυρίην λύχνοιο πολυκλαύτοιο δοκεύων,
εὐνῆς τε κρυφίης τηλεσκόπον ἀγγελιώτην.
ὡς δ' ἴδε κυανέης λιποφεγγέα νυκτὸς ὀμίχλην.
ἡρὼ λύχνον ἔφαινεν. ἀναπτομένοιο δὲ λύχνου
θυμὸν ἔρως ἔφλεξεν ἐπιγομένοιο λεάνδρου.
λύχνῳ καιομένῳ συνεκαίετο. πὰρ δὲ θαλάσσης
μαινομένων ῥοθίων πολυηχέα βόμβον ἀκούων,
ἔτρεμε μὲν τοπρῶτον. ἔπειτα δὲ θάρσος ἀείρας
τοίοισι προσέλεκτο παρηγορέων φρένα μύθοις.
Δεινὸς ἔρως. καὶ πόντος ἀμείλιχος. ἀλλὰ θαλάσσης
ἐστὶν ὕδωρ. τὸ δ' ἔρωτος ἐμὲ φλέγει ἐνδόμυχον πῦρ

λάζε



Lucernæ teſtimoniis pacti ſunt ſeruare.
Illa qdē lucē extēdere, hic aūt undas lōgas trāſire.
Pernoctationes autem experti uigilū nuptiarum
A ſe inuiti ſeparati ſunt neceſſitate,
Hæc qdē ſuā ad turrim, hic autē obſcurā p̄ nocte,
Ne quid erraret iaciens ſigna turris.
Nauigabat pſūdifundamēti ad latū pplm Abydi
Totaq; nocte cōiugū clādeſtina deſyderātes cer/
Sæpe optaīt uenire cubiculū ornātē nocte. (tamia
Iam atrata cucurrit noctis caligo,
Viris ſomnum afferens, & nō amanti Leandro.
Sed multifremi apud litora maris
Nuncium expectabat lucentium nuptiarum,
Teſtimonium lucernæ lugubris expectans,
Lectiq; clandeſtini procul ſpeculantem nunciū.
Vt uero uidit nigræ obſcurā noctis caliginem,
Erò lucernam oſtendit. accenſa uero lucerna
Animum Cupido exuſſit feſtinantis Leandri.
Lucerna ardente coardebat. apud uero mare
Inſanarū undarū multiſonū fremitum audiens,
Tremebat qdē primū, poſtea aūt audaciā excitās
Talibus alloquebaī conſolans mentem uerbis.
Grauis amor, & mare implacabile. ſed maris
Eſt aqua, uerum amoris me urit inteſtinus ignis.

u 4 Aſſume

λάζεο πῦρ κραδίη. μὴ δείδιθι νήχυτον ὕδωρ.
δεῦρό μοι εἰς φιλότητα. τί δὴ ῥοθίων ἀλεγίζεις;
ἀγνώσσεις ὅτι κύπρις ἀπόσπορος ἐστι θαλάσσης
καὶ κρατέει πόντοιο καὶ ἡμετέρων ὀδυνάων;
Ὣς εἰπὼν μελέων ἐρατῶν ἀπεδύσατο πέπλον
ἀμφοτέραις παλάμῃσιν. ἑῷ δ' ἔσφιγξε καρήνῳ.
ἠϊόνος δ' ἐξῶρτο. δέμας δ' ἔρριψε θαλάσσῃ.
λαμπομένου δ' ἔσπευδεν ἀεὶ καταντία λύχνου
αὐτὸς ἐὼν ἐρέτης. αὐτόστολος. αὐτόματος νηῦς.
Ἡρὼ δ' ἠλιβάτοιο φαεσφόρος ὑψόθι πύργου
λευγαλέης αὔραισιν ὅθεν πνεύσειεν ἀήτης
φάρεϊ πολλάκι λύχνον ἐπέσκεπεν. εἰσόκε σηστοῦ
πολλὰ καμὼν Λείανδρος ἔβη ποτὶν αὔλοχον ἀκτήν.
καί μιν ἑὸν ποτὶ πύργον ἀνήγαγεν. ἐκ δὲ θυράων
νυμφίον ἀσθμαίνοντα περιπτύξασα σιωπῇ,
ἀφροκόμους ῥαθάμιγγας ἔτι στάζοντα θαλάσσης
ἤγαγε νυμφοκόμοιο μυχοὺς ἐπὶ παρθενεῶνος,
καὶ χρόα πάντα κάθηρε. δέμας δ' ἔχρισεν ἐλαίῳ
εὐόδμῳ ῥοδέῳ. καὶ ἁλίπνοον ἔσβεσεν ὀδμήν.
εἰσέτι δ' ἀσθμαίνοντα βαθυστρώτοις ἐνὶ λέκτροις
νυμφίον ἀμφιχυθεῖσα φιλήνορας ἔννεπε μύθους
νυμφίε πολλὰ μόγησας. ἃ μὴ πάθε νυμφίος ἄλλος.
νυμφίε πολλὰ μόγησας, ἅλις νύ τοι ἁλμυρὸν ὕδωρ
ὀδμή τ' ἰχθυόεσσα βαρυγδούποιο θαλάσσης,
δεῦρο τεοὺς ἱδρῶτας ἐμοῖς ἐνὶ κάτθεο κόλποις.





Assume ignem cor, ne time effusam aquam.
Ades mihi in amorẽ, cur fluctus curas?
Ignoras quod Venus nata est ẽ mari,
Et dominatur ponto, & nostris doloribus?
Sic fatus, membra amabilia exuit uestem
Ambabus manibus, suóq; astrinxit capiti,
Litoreq; exiluit, corpusq; deiecit in mare.
Splendenteq; festinabat semp̃ aduersus lucernã
Ipse remex, ipse classis, ipse sibi nauis.
Ero autem alta lucifera super turri,
Pernitiosis auris undecunq; spiraret uentus,
Veste sæpe lucernam tegebat, donec Sesti
Multũ fatigatus Leander iuit ad portuosum litꝰ,
Et ipsum suam ad turrim adduxit. ex ianuis uero
Sponsum anhelantem complexa silentio,
Spumeas ex capillis guttas adhuc stillantẽ maris
Duxit spõsa ornatis ad penetralia uirgial cubiculi,
Et corpus totum abstersit, corpusq; unxit oleo
Bene olenti, roseo, & mareolentẽ extinxit odorẽ.
Adhuc autẽ anhelantem alte stratis in lectis
Sponsum circunfusa, blanda emisit uerba.
Spõse multũ laborasti, q̃ nõ passus ẽ spõsus aliꝰ.
Sponse multum laborasti, satis tibi est salsa aqua,
Fœtorq; piscosus frementis maris.
Huc tuos sudores in meos pone sinus.

Ὣς ἡ μὲν ταῦτ' εἶπεν. ὁ δ' αὐτίκα λύσατο μίτρην.
καὶ θεσμῶν ἐπέβησαν ἀριστονόου κυθερείης.
ἦν γάμος, ἀλλ' ἀχόρευτος. ἔην λέχος, ἀλλ' ἄτερ ὕμνων.
οὐ ζυγίην ἱερῶτις ἐπευφήμησεν ἀοιδὰς,
οὐ δαΐδων ἤστραπτε σέλας θαλαμηπόλον εὐνήν,
οὐ δὲ πολυσκάρθμῳ τις ἐπεσκίρτησε χορείῃ,
οὐχ ὑμέναιον ἄεισε πατὴρ καὶ πότνια μήτηρ,
ἀλλὰ λέχος στορέσασα τελεσσιγάμοισιν ἐν ὥραις
σιγὴ παστὸν ἔπηξεν, ἐνυμφοκόμησε δ' ὀμίχλη,
καὶ γάμος ἦν ἀπάνευθεν ἀειδομένων ὑμεναίων.
νὺξ μὲν ἔην κείνοισι γαμοστόλος, οὐ δέ ποτ' ἠὼς
νυμφίον εἶδε λέανδρον ἀριγνώτοις ἐνὶ λέκτροις.
νήχετο δ' ἀντιπόροιο πάλιν ποτὶ δῆμον ἀβύδου
ἐννυχίων ἀκόρητος ἔτι πνείων ὑμεναίων.
ἡρὼ δ' ἑλκεσίπεπλος ἑοὺς λήθουσα τοκῆας
παρθένος ἠματίη, νυχίη γυνή. ἀμφότεροι δὲ,
πολλάκις ἠρήσαντο κατελθέμεν ἐς δύσιν ἠῶ.

Ὣς οἱ μὲν φιλότητος ὑποκλέπτοντες ἀνάγκην.
κρυπταδίῃ τέρποντο μετ' ἀλλήλων κυθερείῃ
ἀλλ' ὀλίγον ζώεσκον ἐπὶ χρόνον, οὐ δὲ τι δηρὸν
ἀλλήλων ἀπόναντο, πολυπλάγκτων ὑμεναίων
ἀλλ' ὅτε παχνήεντος ἐπήλυθε χείματος ὥρη
φρικαλέας δονέουσα πολυστροφάλιγγας ἀέλλας
βένθεα δ' ἀστήρικτα καὶ ὑγρὰ θέμεθλα θαλάσσης

χειμέριοι



Sic illa hæc locuta eſt. ille uero ſtatī ſoluit zonā.
Et leges inierunt beneuolæ Veneris.
Erāt nuptiæ,ſed ſine choreis.erat lect⁹,ſed ſine hy
Non cōiugiū ſacrū quiſq; laudauit poeta, (mnis.
Non tædarum illuminabat lux cubiculariū lectū.
Neq; peragili quiſquam inſiluit chorea.
Nō hymenæū cantauit pater,& uenerāda mater.
Sed lectū ſternens pficientibus nuptias in horis
Silētiū thalamū fixit.ſpōſam uero ornauit caligo.
Et nuptiæ erant longe à canendis hymenæis.
Nox q̄dē erat illis nuptiarū ornatrix. nūq; aurora
Sponſum uidit Leandrum manifeſtis in lectis.
Nauigabat āt è regiōe poſiti rurſus ad pplm Aby
Nocturnos īſatiabilis adhuc ſpirās hymenæos.(dī
Aſt Erò longa induta ueſte ſuos latens parentes
Virgo diurna,nocturna mulier.utriq; autem
Sæpe optarūt deſcendere ad occaſum auroram.

Sic ij quidem amoris abſcondentes uim,
Occulta delectabantur inter ſe Venere.
Sed paruum uixerunt in tempus. neq; diu
Inuicem potiti ſunt multiuagis nuptijs.
Sed quando pruinoſæ uenit hyemis hora,
Horrendas cōmouens multarū uortiginū pcellas
Profūditateſq; īfirmas,& madida fūdamēta marſ

Hyemales

χειμέριοι πνείοντες ἐπεσυφέλιζον ἀῆται
λαίλαπι μαστίζοντες ὅλην ἅλα. τυπτομένης δὲ,
ἤδη νῆα μέλαιναν ἀπέκλασε διχθάδι χέρσῳ,
χειμερίην καὶ ἄπιστον ἀλυσκάζων ἅλα ναύτης.
ἀλλ' οὐ χειμερίης σε φόβος κατέρυκε θαλάσσης,
καρτερόθυμε λέανδρε. διακτορίη δέ σε πύργου,
ἠθάδα σημαίνουσα φαεσφορίην ὑμεναίων,
μαινομένης σ' ὤτρυνεν ἀφειδήσαντα θαλάσσης,
νηλειὴς καὶ ἄπιστος. ὄφελλε δὲ δύσμορος ἡρὼ,
χείματος ἱσταμένοιο μένειν ἀπάνευθε λεάνδρου
μηκέτ' ἀναπτομένη μινυώριον ἀστέρα λέκτρων.
ἀλλὰ πόθος καὶ μοῖρα βιήσατο. θελγομένη δὲ,
μοιράων ἀνέφαινε καὶ οὐκέτι δαλὸν ἐρώτων.
Νὺξ ἦν, εὖτε μάλιστα βαρυπνείουσιν ἀῆται
χειμερίης πνοιῇσιν ἀκοντίζοντες ἀῆται,
ἀθρόον ἐμπίπτουσιν ἐπὶ ῥηγμῖνι θαλάσσης.
δὴ τότε λείανδρος πόθων ἐθήμονος ἐλπίδι νύμφης,
δυσκελάδων πεφόρητο θαλασσαίων ὑμεναίων.
ἤδη κύματι κῦμα κυλίνδετο. σώρευτο δ' ὕδωρ
αἰθέρι μίσγετο πόντος. ἀνέγρετο πάντοθεν ἡ γῆ.
μαρναμένων ἀνέμων ζεφύρῳ δ' ἀντέπνεεν εὖρος
καὶ νότος ἐς βορέην μεγάλας ἐφέηκεν ἀπειλάς.
καὶ κτύπος ἦν ἄλιαστος ἐρισμαράγοιο θαλάσσης.
αἰνοπαθὴς δὲ λέανδρος ἀκηλήτοις ἐνὶ δίναις

πολλάκι



Hyemales ſpirantes uerberabant uenti,
Nimbo percutientes totum mare. uerberato aūt
Iā nauē nigrā fregit biptita terra, (id ē portuoſa)
Hyemale & infidum effugiens mare nauta.
Sed non hyemalis te timor coercebat maris
Fortanime Leander, nuncius ſed te turris
Conſuetam ſignificans lucem nuptiarum,
Furentis te impulit ſecurum maris
Crudelis & perfidus. debebat autem infelix Erō
Hyeme inſtante manere ſine Leandro,
Non amplius accendēs indicem ſtellam lectorū.
Sed amor & fatum cogebat. geſtiens autem
Parcarum oſtendebat nō amplius ſtipitē amorū.
Nox erat, cum maxime ſpiranteis uentos
Hyemalibus flatibus iaculantes uenti
Collectim irruunt in littus maris.
Tunc Leander conſuetæ ſpe ſponſæ
Perſonantium ferebatur marinarum nuptiarum.
Iā ab unda unda uoluebat̄. accumulabat̄ uero aq̄.
Aetheri miſcebat̄ mare. cōcitata eſt undiq; terra
Pugnātib⁹ uētis. Zephyro aūt cōtraſpirabat Eur⁹
Et Notus in Boream magnas immiſit minas.
Et fragor fuit incuitabilis ualdefremi maris.
Grauia aūt paſſus Leāder, implacabilib⁹ ī litorib⁹

Sæpe

πολλάκι μὲν λιτάνευσε θαλασσαίην ἀφροδίτην,
πολλάκι δ' αὐτὸν ἄνακτα ποσειδάωνα θαλάσσης.
ἀτθίδος οὐ βορέην ἀμνήμονα κάλλιπε νύμφης.
ἀλλά οἱ οὔτις ἄρηγεν, ἔρως δ' οὐκ ἤρκεσε μοίρας
πάντοθι δ' ἀγρομένοιο δυσάντεϊ κύματος ὁρμῇ
θρυπτόμενος πεφόρητο. ποδῶν δέ οἱ ὤκλασεν ὁρμή,
καὶ σθένος ἦν ἀδόνητον ἀκοιμήτων παλαμάων,
πολλὴ δ' αὐτόματος χύσις ὕδατος ἔρρεε λαιμῷ.
καὶ ποτὸν ἀχρήιστον ἀμαιμακέτου πίεν ἅλμης.
καὶ δὴ λύχνον ἄπιστον ἀπέσβεσε πικρὸς ἀήτης
καὶ ψυχὴν καὶ ἔρωτα πολυκλαύτοιο λεάνδρου.
εἰσέτι δ' ἰθύνοντος, ἐπ' ἀγρύπνοισιν ὀπωπαῖς,
ἵστατο κυμαίνουσα πολυκλαύτοισι μερίμναις.
ἤλυθε δ' ἠριγένεια καὶ οὐκ ἴδε νυμφίον ἡρώ.
πάντοθι δ' ὄμμα τίταινεν ἐπ' εὐρέα νῶτα θαλάσσης
εἴ που ἐσαθρήσειεν ἀλώμενον ὃν παρακοίτην,
λύχνου σβεννυμένοιο, παρὰ κρηπῖδα δὲ πύργου
θρυπτόμενον σπιλάδεσσιν ὅτ' ἔδρακε νεκρὸν ἀκοίτην
δαιδάλεον ῥήξασα περὶ στήθεσσι χιτῶνα
ῥοιζηδὸν προκάρηνος ἀπ' ἠλιβάτου πέσε πύργου
κὰδ δ' ἡρὼ τέθνηκεν ἐπ' ὀλλυμένῳ παρακοίτῃ.
ἀλλήλων δ' ἀπόναντο καὶ ἐν πυμάτῳ περ ὀλέθρῳ.

ΜΟΥΣΑΙΟΥ ΤΩΝ ΚΑΤ' ΗΡΩ ΚΑΙ ΛΕΑΝΔΡΟΝ ΤΕΛΟΣ.

παρὰ ἰω. τῷ φροβενίῳ. α. φ. ιη. μηνὶ γαμηλιῶνι.



Sæpe quidem precabatur æquoream Venerem.
Sæpe autem & ipſum regem Neptunum maris
Atthææ n̄ boreā īmemorē reliq̄t puellæ.ſ.orithyæ
Sed ei nullꝰ auxiliatꝰ ē.amor aūt nō coercuit fata.
Vndiq; autē accumulati malcobuio fluctꝰ īpetu
Cōtritus ferebat̄.pedum autē eius defecit uigor.
Et uis fuit immobilis inquietarum manuum.
Multa autem ſpōtanea effuſio fluebat in guttur.
Et potum inutilem indomabilis potauit maris.
Et iam lucernam infidam extinxit amarus uētus,
Et animam & amorem deflendi Leandri.
Cū adhuc autem dirigeret iter, uigilibus oculis
Stabat fluctuans miſeris curis,
Venit autem aurora, & nō uidit ſponſum Erò
Circūquaq; aūt oculū dirigebat in lata dorſa mar̄,
Sicubi uideret errantem maritum.
Lucerna extincta, apud fundamentum turris
Obtritum procellis cum uidiſſet mortuū maritū
Variam populata circa pectus ueſtem.
In fluctus præceps ab excelſa cecidit turre,
Erò cōmortua ob eum qui perierat coniugem.
Seinuicem autē freti ſunt etiā in ſuprema morte.

MVSAEI DE ERO ET LEANDRO FINIS.

Apud Io.Frobeniū. M.D.XVIII. Menſe Ianuar.



# GALEO-
## MYOMACHIA,
Hoc est, Felium &
Murium pu-
gna.

Tragœdia Græca.

APVD INCLY-
TAM GER-
MANIAE
BASILEAM.

## IO. FROBENIVS STVDIOSIS S.D.

AVLVS Gellius amœnissimus autor in noctib⁹ suis illis Atticis, quas uerius luces quis dicat, ut quibus neq; luculẽtius quicq; sit uel micãtius, ex opere Varronis ænigma de Termino deo proposuit, nec soluit, ut legẽtiũ cõiecturas acueret. Nos itidẽ qui uobis cõplusculos libellos dudum typis nostris excudimus, Græcos, sed quibus latina cõiuncta fuerit interpretatio, nunc hanc Tragœdiã, quã γαλεωμυομαχίαν autor inscripsit sine tralatiõe nudã uobis exhibemus, ut profectus uestri periculũ aliquando facere possitis, & (quod aiunt) sine cortice nare discatis. Equidẽ si pueros iam grandescenteis alienorũ adminiculorũ pudet, sit certe parũ decorũ, eos qui in studiis aliquousq; progressi sunt, alieno semper affixos esse cõmentario. Conferẽdus est primo discentiũ animus ad certũ præscriptũ & quasi cogẽdus, post in literis audacter uersandum. Bene Valete, καὶ τὴν τῆς ὑμῶν προκοπῆς πεῖραν ἐν ταύτῃ τῇ τραγῳδίᾳ λάβετε. Basileæ. XV. Calend. Februar. An. M.D.XVIII.



## ΑΡΙΣΤΟΒΟΥΛΟΣ ΑΠΟΣΤΟΛΙΟΣ ΙΕΡΟΔΙΑΚΟΝΟΣ ΤΟΙΣ ΕΝΤΕΥΞΟΜΕΝΟΙΣ ΧΑΙΡΕΙΝ.

Ὅμηρος μὲν ὁ τῶν ποιητῶν γονιμώτατος, τῶν τοῦ χίου παίδων ἑαυτῷ παραπεθέντων παιδεύεσθαι, βατραχομυομαχίαν τε καὶ ἐπικιχλίδας, καθάπερ ἡρόδοτος ἱστορεῖ, καὶ ἄλλα ὅσα παιγνίων ἀνάμεσα τοῖς τε παισὶν ἐκείνου, καὶ τοῖς ἐπιγιγνομένοις χαριζόμενος, συνετίθετο. ἵνα τῶν μαθημάτων ἀρχόμενοι, τούτων ἥδιον ἀκροῶνται, καὶ μὴ τῶν τὰ παίδων ὦτα διακναίειν φιλούντων. τῶν μεταγενεστέρων δέ τις τὸν ποιητὴν ἀπομιμεῖσθαι βουλόμενος, πόλεμόν τινα γαλῆς πλασάμενος καὶ μυῶν, εἰς κωμῳδίας τάξιν παρήγαγε, μέτρῳ ἰαμβείῳ χρησάμενος. τούτου δέ μοι ταῖς χερσὶν ἐμπεσόντος, ἔδοξεν ἅμα μὲν τοῖς φιλομαθέσι τῶν νέων ἔργον ἀπεργάσασθαι καταθύμιον, εἰ τοῦτον ὥσπερ τινὰ νέαν ἀοιδὴν τυπώσαντες ἀποπέμψομεν. ἅμα δὲ καὶ οἷόν τινα κήρυκα προεκπέμψαι τῆς οὐ μετὰ πολὺ τυπωθησομένης ἰωνιᾶς. ἐφ' ἣν πολλὴν σπουδὴν ὁ ἐμὸς πατὴρ κατεβάλετο. τὰς γὰρ διατριβὰς ἐν ῥώμῃ πάλαι ποιούμενος, γασπάρῳ τῷ αἰδεσιμωτάτῳ ἐπισκόπῳ τοῦ ὄσμου συναγωγὴν παροιμιῶν συνθεῖναι ὑπέσχετο. ἀρξάμενος δὲ τῶν παροιμιῶν, συνυπεμνήσθη καὶ γνωμῶν, ἀποφθεγμάτων τε καὶ ὑποθηκῶν ἀρχαιοτάτων καὶ σοφωτάτων ἀνδρῶν. ἀδελφὰ γὰρ ἀλλήλοις εἰσί, παροιμίαι, καὶ γνῶμαι, καὶ ὑποθῆκαι, καὶ

ἀποφθέγματα. νομίζω δὲ τὸ βιβλίον τοῖς φιλομαθέσι τῶν νέων, ὅτι πλείστην παρέξειν γε τὴν ὠφέλειαν. ἃ γὰρ ἂν διὰ πολλῆς σπουδῆς τε καὶ ἀναγνώσεως ἠρανίσαντο, εἴγε τῶν βιβλίων ηὐπόρησαν, ταῦτάγε πάντ᾽ ἐκεῖσε συνηγμένα, καθάπερ ἐν ἰωνιᾷ ταῖς μελίσσαις τὰ ἄνθη, ἐξέσται τοῖς πᾶσιν ἀνιδρωτὶ ἀποδρέπεσθαι. τὴν μὲν οὖν γαλεωμυομαχίαν, ἣν ὁ συνθεὶς, ὅς τις ἂν ἦν, καλῶς πάνυ καὶ ἀστείως συνέθετο, τανῦν τοῖς φιλομαθέσιν ἐκπέμπομεν. οὐ μετὰ πολὺ δὲ καὶ τὴν ἰωνιὰν ἐκδώσομεν ἐντυπώσαντες. παρ᾽ ἧς οὐχ οἵ πως εὐφροσύνην, ἀλλὰ καὶ μεγίστην ὠφέλειαν οἱ σπουδαῖοι καρπώσονται.



## ΥΠΟΘΕΣΙΣ ΤΗΣ ΓΑΛΕΩΜΥΟΜΑΧΙΑΣ.

Τοῦ μυῶν κυριεύοντος ἐν ὀπῇ τινὶ ζοφώδει καὶ κατεσκιασμένῃ προσμένοντος, Κρείλλου κατωνομασμένου, καὶ τῆς γαλῆς τῆδε κἀκεῖσε δρομαίως περιβλεπούσης καὶ τὸν τῆδε συνήθως δρόμον ἀνιχνευομένης, ὁ Κρεῖλλος μὴ φέρων ταύτης τὴν διηνεκῆ περισκόπησιν, παρὰ τούτου ὁμαίμονι προσελθὼν, ὃς τὴν τοῦ τυροκλόπου ἀξίαν αὐτῷ περιέφερε. ἐν τούτῳ συμβούλῳ χρησάμενος, ᾧ τινι τρόπῳ ταύτην καταπροπώσεται, πόλεμον ἄσπονδον κατ᾽ αὐτῆς δεδρακέναι μεμελετήκασι. καὶ πλείστων μυῶν ἀθροισμὸν συνηθροικότες ἀμφότεροι, καὶ τοῦτο νενουθετηκότες, καὶ πάμπλειστα προεξώσαντες, ἡβηδὸν παρελθόντες πρὸς αὐτὴν ἀντεξήεσαν. καὶ δὴ προσκεκρουκότες ἑκάτεροι, τὸν τοῦ Κρείλλου υἱὸν ἡ γαλῆ κρατήσασα, καὶ τοῖς ὄνυξι ταύτης ἀγρίως σπαράξασα, παραυτίκα τὸν νεανίαν εἰσβέβρωκεν. ἄγγελος δὲ τῶν μυῶν καθεωρακὼς τὸ γινόμενον, εὐθέως πρὸς τὴν δάμαρτα τοῦ Κρείλλου ὑπέστρεψε, μηνύσων αὐτῇ, τὸν τοῦ προσφιλεστάτου παιδὸς χαλεπώτατον θάνατον. τούτων τοίνυν ἐπιπολὺ μαχομένων, ξύλον κατελθὸν σεσημμένον δὲ ὑπερτάτης στέγης, τὰ νεῦρα τῆς γαλῆς κατέθλασε. καὶ νικηταὶ τῆς μάχης οἱ μύες ὡράθησαν.

Τὰ τοῦ δράματος πρόσωπα.

Κρεῖλλος. Τυροκλόπος. Κῆρυξ. Χορὸς θεραπαινίδων. Ὁμευνέτης Κρείλλου. Ἄγγελος. Προλογίζει δὲ ὁ Κρεῖλλος.

Κρε. Τί τὴν τοσοῦτον ἀνδρικώτατοι χρόνον
μένοντες εἴσω τῶν ὀπῶν ἀεννάως,
δείμῳ σύνεσμεν καὶ φρίκῃ καὶ δειλίᾳ,
καὶ δυσμόρως δίεμεν οἰκεῖον βίον,
μὴ δὲ προκύψαι τῆς ὀπῆς ἠρκμένοι.
ἀλλ' οἰκτρότατοι καὶ φόβου πεπλησμένοι,
βίον σκοτεινὸν ἀθλίως μυωξίαις,
ζῶμεν καθάπερ οἱ πεφυλακισμένοι.
καὶ νύκτα τὸν σύμπαντα τοῦ χρόνου δρόμον
μακρὰν δοκοῦμεν καὶ σκιὰν τοῦ θανάτου.
ὡς οἱ ζοφώδεις κιμμέριοι τῷ λόγῳ.
οἱ ποντικῶν ἔχοντες ἀμβλυωπίαν,
ζόφωσιν ἐξάμηνον εἷλκον τῷ βίῳ.
Τυρ. κἂν μὴ θέλωμεν ἐσμὲν ἐν μυωξίαις.
εἰ γὰρ προελθεῖν ὡς λέγεις θαρσαλέως
τολμήσομεν βαίνοντες ἀσχέτῳ δρόμῳ,
τάχιστ' ἂν ἐμπέσοιμεν αἰπεῖ κινδύνῳ.
καὶ προυμμάτων ἴδοιμεν οἰκεῖον μόρον.
καὶ τὸν σκοτεινὸν ἀϊδωνέως τόπον,
λάβοιμεν ἀντίποινον ἀκρατωσύνης.
Κρει. πῶς γοῦν παρεμπέσωμεν ὡς φῂς κινδύνῳ,
καὶ τὸν βίον βλέπωμεν ἀθλίῳ μόρῳ.
Τυρ. ἀκφθέντες εἴσω τῶν φρικωδῶν χειλέων.

τῆς



τῆς ἅρπαγος κρεῖττε τοῦ δολοπλόκου.
τίς ἐστιν αὕτη μὴ φθονήσῃς τῷ λέγειν. Κρει.
οὐ γὰρ προχείρως τοῦ σκοποῦ περιστρέφω.
ἣν γαλῆν ὠνόμασεν ἀνθρώπων γένος. Τυρο.
αὕτη γὰρ ἀεὶ χηραμὸν περιβλέπει,
καὶ μῦς ἐρευνᾷ. καὶ καθώσπερ οἱ κύνες
ἐκκυνηλατοῦσι τοὺς λαγωοὺς ποικίλως.
τὸν αὐτὸν αὕτη σκανδαλοπλόκως τρόπον
ἡμᾶς διϊχνεύει λυγγικὸν βλέπουσά τι.
οἶδ' ἣν περ ἠρμήνευσας ἀκριβεστάτως. Κρει.
καὶ γὰρ πρὸ καιροῦ τὴν ἐμὴν θυγατέρα
λυχνογλύφην δὲ φημὶ τὴν πεφιλημένην
οἰκτρῶς κατημάλλαξε φεῦ μοι προυμμάτων·
κἀμοῦ τὸ τέκνον τὴν φίλην χορδοκόπον. Τυρο.
καὶ τὸν ποθεινὸν σιτοδάρπην καὶ φίλον,
εἰς ἐκδίκησιν τῆς ἀδελφῆς ἐλθόντα.
τί γοῦν κατωκνήσαμεν ὡς θηλυδρίαι Κρει.
καὶ περιεδόμεν τὸν φόνον τῶν φιλτάτων;
καὶ τί προσῆκον ἐργάσασθαι τυγχάνει. Τυρο.
εἰς ἀντάμειψιν ἀπιδεῖν τῆς παμφάγου, Κρει.
καὶ τῶν θανόντων ἐκδικῆσαι τὸν μόρον.
ποίῳ τρόπῳ κάτειπε σαφηνίσας. Τυρ.
μῦθον πρὸς αὐτὴν ἀτρόμως τετευχότες. Κρει.

 Δέδοικα

Τυρ. Δέδοικα καὶ πέφρικα μὴ ἐσφαγμένοι,
χ' ἡμεῖς φανῶμεν καὶ καταβεβρωμένοι
καὶ κύρμα γαλῆς φεῦ γενώμεθα ξένον.
Κρε. Καὶ τοῦτο δ' οὐχ ἔκτη τῶν τεθνηκότων.
καὶ γὰρ γινώσκεις τοὺς γραφεῖς αἰνουμένους
τῶν συγγενῶν ἔκτη καὶ τῶν γνωρίμων,
παίδων, ἀδελφῶν, γνωρίμων, φυτοσπόρων,
θανόντας ἀπλήρωτον ἕλκοντας κλέος.
Τυρ. Ἴσημι πάντως. ἀλλὰ δεινὸν τυγχάνει
λιπεῖν τὸ λαμπρὸν στάδιον τῆς ἡμέρας.
καὶ τῷ σκοτεινῷ συγκαλυφθῆναι τάφῳ.
Κρεῖ. Οὐκ οἶδας ἣν μέγιστον ἄρωμεν κράτος,
καὶ πικροτάτῳ τὴν δὲ δώσομεν μόρῳ.
Τυρ. Ὅτῳ τρόπῳ σώσαιμι σαφήνιζέ μοι.
Κρεῖ. Αὐτῇ μαχησμὸν συστάδην δεδρακότες
Τυρ. Κρεῖττον μοι δοκεῖ συμβαλεῖν λαθριδίως.
Κρεῖ. Ποία δ' ὄνησις λάθρα τῷ προσιέναι,
Τυρ. Εἰ γὰρ προγνῶσα τοῖς δόλοις προσανέχειν
ὡς εἰς μαχησμὸν αἱρετὸν συνεστάναι
καὶ συμμάχων ὅμιλον εἰς αὐτὴν λάβῃ,
καὶ συμβαλοῦσα, τηνικαῦτα τὸ στέφος
ἀρεῖ παραπαύσασα τὴν ἡμῶν ἴλην.
Κρε. Χ' ἡμεῖς κατ' ἶσον συμμάχων ὁμηγύρεις,

λάβωμεν



λάβωμεν εἰς ἄρηξιν ὡς εἰθισμένον.
Οὐκ οἶδα πῶς πρὶν συνιστῶντες τὸν μόθον Τυρ:
πρὸς τὸ στράτευμα τῶν γαλῶν καὶ βατράχων,
καὶ συμμάχων εἴχομεν κράτιστον νέφος,
Ἴσημι πῶς κάκιστον εἴδομεν μόρον, Κρε.
παίδων, ὁμαίμων, γνωρίμων, φυτοσπόρων,
μικροῦ δ' ἀπολώλαμεν ἡμεῖς τῷ τότε.
Δέδοικα καὶ νῦν μὴ θάνωμεν τῷ βόθρῳ. Τυρ.
Οὒ νὴ θεῶν πλήρωμα τῶν ἐνυπνίων Κρε.
ἀελπίς εἰμι καὶ γὰρ ἐξ ὀνειράτων.
Τί γοῦν ὄνειρον ἐμφανῶς ἑώρακας; Τυρ.
Ὁ Ζεὺς γοῦν ὤφθη κατ' ὄναρ κνώσσοντί μοι: Κρε.
καὶ θάρσος ἐντέθεικε τῇ μῇ καρδίᾳ.
καὶ χαῖρε. λήψῃ προσπεφώνηκε κράτος,
Τίνι προσωμοίωτο καὶ τοῦτο φράσον. Τυρ:
Τῷ, τυρολείχῳ τῷ φρονίμῳ πρεσβύτῃ. Κρε.
Πῶς δ' οὐκ ἐπ' ἄλλον ὡράθη σοι τὸν χρόνον. Τυρ.
Ἐμαῖς ἀπειλαῖς ὡράθη ποιαλέος, Κρε.
Τί γοῦν ἐπηπείλησας αὐτῷ τῷ πόλον Τυρ.
οἰκοῦντι καὶ λέγοντι τοῖς ἀθανάτοις,
σειρὰν μεγίστην ἐξανάψαι τοῦ πόλου
καὶ πάντας ἕλξαι χειρὶ πανσθενεστάτῃ;
καὶ τί περ ἠπείληκα τούτῳ μυρία. Κρε.

καὶ γὰρ καθ' αὑτὸν ἱστορῶν μου τὸν βίον
ὅπως μένων ἔσωθεν οἰκτρῶς γωνίας,
ὅλως σκοτεινός εἰμι καὶ ζόφου γέμων.
καὶ δεῖμα δεινὸν δέδειγμαι καὶ τρέμω
ζῶον πενιχρὸν ἔμπλεων ἀηδίας.
ᾤμωζον, ὠλόλυζον, ἠθύμουν, μέγα,
ἔκοπτον, ἐσπάραττον οἰκείαν γένυν,
καὶ τὸν θεὸν ὕπατον ὕβριζον Δία.
καὶ προστέθεικα τοῖς στεναγμοῖς σὺν χόλῳ,
δεινὰς ἀπειλὰς παντελῶς δειμαλέας.
Τυρο. Τί γοῦν ἐπηπείληκας εἰπέ μοι τό δε.
Κρεῖ. ὡς εἴπερ οὐ θήσει με νικητὴν μέγαν,
καὶ παγκράτιστον τῇ μάχῃ στεφανίτην,
τάχα προσελθὼν ἐς ναὸν τῶν θυμάτων,
ἅπαντα θήσω πρὸς ῥοφὴν τῆς κοιλίας.
Τυρο. Κἀγὼ συνέλθω σὺν συνεύνῳ καὶ τέκνοις.
ἀλλ' ὡς ἔοικε τὸν μῦθον καθιστορεῖς
Κρεῖ. Ναὶ δῆτα καὶ σύμπαντας ἀρτίως μύας
κεκληκέναι προαύμελον εἰς ἐκκλησίαν.
Τυρ. Οὐ νῦν ἐπεὶ δεύοιτο τοῦ φοιτημίω
ἀπαλλαγῆναι τοῦ σκοτοκρύπτου βίου,
ἐλευθερωθῆναι τε γαλῶν τοῦ φόβου.
τοὺς μῦς ἅπαντας ἀρτίως συγκλητέον.

καὶ



καὶ πρῶτον εἰς κατάρξιν ἰτέον λόγων.
ἐπιτρεπόντων προσφέρειν εὐτολμίαν.
ἢ καὶ στρατηγοὺς· στρατηγῶν εἰργακότες,
καὶ ταξιάρχας καὶ λοχαγοὺς ὡς θέμις,
λογχηφόρους τε μοι κραταιοὺς ὁπλίτας,
ἀντεξίωμεν εἰς μόθον τεταγμένοι.
Κρε. Καλῶς προσέφης μοι σοφῶς καὶ κοσμίως.
καὶ γὰρ τὸ γῆρας νουθετεῖ καὶ σωφρόνως.
κῆρυξ ἴτω δὲ καὶ καλείτω τοὺς μύας,
Κῆρυξ. Ἰδοὺ πάρεισι μύαρχοι συνηγμένοι
καὶ σοῦ προεστήκασι βουλευτηρίῳ.
Κρε. Ἐγὼ μὲν ὦ σύνταγμα γενναίων φίλων
εὔεικτον εὐόμιλον ἐκ πολλοῦ χρόνου
πολλὴν καταγνοὺς τῶν πάλαι πεφυκότων
τὴν ἀσθένειαν καὶ κακίστην δουλείαν.
αὐτῶν περ εἴσω φωλεῶν μυχαιτάτων,
μένοντες οὐκ ἄτολμον εἶχον καρδίαν.
ἀλλ' ὡς κλινήρεις καὶ μέλη παρειμένοι,
ἔπτησαν ἐλθεῖν εἰς μάχην ἐναντίων,
ἤδη στρατεύειν ἱστορῶ θαρραλέως.
οὐ γὰρ προσῆκον μου δεδοικότα καὶ φίλον
σθένος φρονοῦντι καὶ κρατοῦντι μυρίων
πομπὰς πλουτοῦντι καὶ κρότοις ὑμνημένῳ,

τρέμειν

τρέμειν προελθεῖν τῆς ἐμῆς μυωξίας·
ὑμεῖς δ᾽ ἑτοίμως τὸν λόγον δεδεγμένοι,
ὡς εὐγενῶν πέλοντες ἐκ φυτοσπόρων,
καὶ πανσθενῶς ἔχοντες αὐτῶν τοῦ πόνου,
μὴ νωχελεῖς γίνεσθε πρὸς τὰ πρακτέα.
μὴ δ᾽ ὀκνήσητε μηδαμῶς ὦ γεννάδαι.
ἀλλ᾽ ὡς τάχιστα ἅπαντες ὦ θεῖοι μύες
ἴτε προθύμως εἰς νέαν στρατηγίαν,
ζῆλον λαβόντες τῆς ἐμῆς ἐξουσίας.
ἐγὼ γὰρ οὐκ ὤκνησα πώποτ᾽ εἰς μόθον.
ἀλλ᾽ ὡς ἀληθῶς ἐκ νέας ἡλικίας,
ἐς τὸ στρατηγεῖν ἀνδρικῶς ἐτραπόμην.
πάσαις δὲ πάντη προσβολαῖς ἐπεκράτουν.
γένους γὰρ φυεὶς εὐγενοῦς ἐξ ὀσφύος.
ὡς ἴστε πάντες τὰ πάλαι θρυλλούμενα,
ἐπὶ δυνάμει καὶ φρενῶν γορουσία
ἐμοὺς γονεῖς ἕλκοντας ἄπλετον κλέος,
τοὺς Χαρτοδάπτας ὠνομασμένους λέγω,
οὐκ ἠθέλησα ζῆν τὸν ἄπονον βίον.
ἀλλ᾽ εἰς μάθησιν τῶν στρατηγικωτάτων,
ἀπῆλθον εὐθὺς ἐκ νέου μειρακίου,
ἤσκησα κοντὸν καὶ σπάθην σὺν ἀσπίδι.
βαίνειν ἐφ᾽ ἵππους καὶ στρέφεσθαι ποικίλως,
βάλλειν



βάλλειν τὸν ἐχθρὸν εὐστόχως καὶ καιρίως.
τείνειν τὸ τόξον καὶ τὸν ἰὸν ἱέναι.
καὶ πᾶσαν ἁπλῶς τὴν στρατηγίαν τέχνην,
μετῆλθον ὡς ἅπαντες οἱ στρατηλάται.
μόθων δὲ πολλῶν ἐγκρατὴς δεδειγμένος,
καὶ πλεῖστα δοῦλα τῆς ἐμῆς ἐμπειρίας
ἔθνη δεδειχώς, ἦλθον εἰς μυαρχίαν,
πάντων ἄριστος καὶ μέγας κεκριμένος.
καὶ νῦν δὲ παγκάκιστον ἔγνων τυγχάνειν
τὸν ἀνθάμιλλον τοῦ διὸς [illegible] τῆς ῥέας,
ζῶον τρέμειν τι μικρὸν ἠθλιωμένον.
τοίνυν κελεύω τοὺς ἐμοὶ πεφιλημένους,
ἅπαντας εἰς σύνταξιν ἐλθεῖν τῆς μάχης,
στερρῶς, κραταιῶς, εὐσθενῶς, εὐκαρδίως,
σοφῶς, ἐναργῶς, εὐφυῶς ὡπλισμένους.
τανῦν δὲ λοιπὸν, ἴτε πρὸς τὰς οἰκίας.
τὴν αὔριον δ᾽ ἕωθεν ὦ στρατηλάται,
πάντα κινῆσαι βούλομαι θαρραλέως.
δοκεῖ γὰρ οὕτω συμφέρειν πρὸς τὸ πέρας.
Ἐπείπερ ἤδη πάντες εἰς τὰς οἰκίας Τυρ.
ἀπῆλθον, ὥρα τοῦ καθευδῆσαι κλίνη.
ἄπειμι κἀγὼ πρὸς κλίνην τὴν ἰδίαν.
εἴρηκας ὀρθῶς τοιγαροῦν πειρατέον. Κρε.
ὢ ποῖον

Χορ. ὦ ποῖον ἄλγος νῦν κρατεῖ με καὶ θλίβει.
ὦ Ζεῦ τί τοῦτο τῆς παρούσης ἡμέρας.
δεινὸς λογισμὸς ἔχει μου τὴν δεσπότην,
γαλῆ προσάψαι μῶλον οὐ λαθριδίως.
δοκῶ γὰρ αὐτὸν σὺν πάσῃ στρατηγίᾳ,
θανεῖν, λιπόντα τὸν φαεσφόρον λύχνον.
ἄπολλον, ἁγνόμαντι, φοῖβε λοξία,
τί τοῦτο τοῦτο. φεῦ παπαί, φεῦ, μοι πάλιν.
ἰατατ αι ἀξ ὢ πόνων ἰαλέμων
αἰ. αἰ. ἰού. ἰού. ὢ κακῶν πονημάτων.
Ημι. Ἴσως κρατήσει τὴν μάχην κατακράτος.
Ημι. Ἄπιστ᾽ ἄπιστα καινὰ καινά μοι λέγεις.
τὸ τοῦ διὸς θέλημα νῦν ὑπερξάτω.
Τυρ. Ὁρῶ θέουσαν δ᾽ ἐξ ὑέλων ἡμέραν.
Κρεῖ. Καὶ μὴν κἀγὼ δέδορκα τὴν λαμπηδόνα.
Τυρ. Καὶ τοιγαροῦν λίποιμεν ὕπνον καὶ κλίνην.
οἷς δὲ καὶ βοῦς τοῖς θεοῖς τεθυκότες,
πρὸς τὸν μαχησμὸν ἐξίκωμεν ἀτρόμως.
δεῖ γὰρ πρὸ πάντων ἱλεοῦν τοὺς ἐν πόλῳ.
Κρε. Ἰδοὺ θύσαντες ἐκκαλοῦμεν τὸν δία.
καὶ τὴν ἀθηνᾶν ἐπὶ τὸν ἑρμῆν καὶ πᾶνα.
καὶ τὸν ποσειδῶ καὶ τὸν ἁγνὸν λοξίαν.
ἥραν σὺν αὐτοῖς ἄρτεμιν τ᾽ ὀρειβάτιν.

πλούτωνα,



πλούτωνα λητὼ σὺν ἅδῃ περσεφόνην,
καὶ πάντας ἄλλους. καὶ προοῦμεν τὸν πόδα.
Χορ. Ω πάντες ὦ σύμπαντες ὦ θεοὶ μόνοι.
ὅσοι τ᾽ ἄνωθεν καὶ κάτω κληρουχίαν
ἔχοντες ἐστὲ τῶν καλῶν χορηγέται.
πρόστητε ναὶ πρόστητε καρτερωτάτως.
τῶν δεσποτῶν μου τὴν νέαν στρατηγίαν
καὶ τῶν τελούντων πρὸς τὸ παμφάγον γένος.
Ομουνέ. Νῦν εἴθε νικήσαιμεν ὦ Ζεῦ τὸν μόθον.
ἐμοὶ στρατηγοὶ καὶ σύζυγος καὶ τέκνον.
Χορ. Καλὸν τὸ νικᾶν, ἀλλὰ δειλεία μ᾽ ἔχει.
Γυνή. Κἀγὼ δέδοικα καὶ τρέμω κατακράτος.
Χορ. Δεινὸν γάρ ἐστι δυσμενῶν εὐανδρία.
Γυνή. Ω Ζεῦ βασιλεῦ χρηστὸν ἐργάσαι μόθον.
Χορ. Ἀεὶ τὸ θεῖον τῶν καλῶν ἅπαν νέμει.
Γυνή. Εἰ μὲν κρατήσει τῶν μυῶν αἱ πληθύες
ἐξισχύσουσι τῆς ἐναντιουμένης,
εὖ ἂν τὸ λοιπὸν ἀνύσαιμεν τοῦ βίου.
καὶ τὸν φόβον ῥίψαιμεν ὡς πορρωτάτω.
Χορ. Ναὶ δὴ γένοιτο τοῦτο σὺν θεῷ λέγω.
Γυνή. Εἰ δ᾽ ἥττονες γένοιντο τῆς ἐναντίας,
καὶ πρὸς φυγὴν βλέψωσιν ὡς τετραμμένοι,
ἅπαντα φροῦδα προσγενήσεται τάχα.

Χορ. Ὡς εἴθε μὴ γένοιτο μὴ δ' ἔσοιτό μοι.
Γυνή Καὶ πᾶς γένηται δοῦλος αἰχμαλωσία.
Χορ. Οὐκ. ἀλλὰ δεινὸν βρῶμα τῶν ἐναντίας.
Γυνή Κἀγὼ δὲ δούλη παισὶ σῶν τοῖς φιλτάτοις,
ἢ πρὶν κυρία προσφανήσομαι τάχα.
Χορ. Ἥκιστα δούλη σὺ γενήσῃ σῶν τέκνοις.
ἀλλ' ὡς ἀληθῶς βρῶμα τῶν ἀδδηφάγου.
Γυνή. Τί γοῶν προλίπω τοῦ γλυκύτατον φάος.
καὶ συγκαλυφθῶ τῇ κόνει ἐν τῷ τάφῳ.
Χορός Σίγα σίγα δέσποινα δεινόν τι βλέπω.
καὶ μὴν ὁρῶ θέοντα τὸν ἐσπασμένον
καὶ πυκνὸν ἀσθμαίνοντα ἐπὶ πεπληγμένον.
Ἄγγελος Κυρία ποῦ πάρεστι, τίς δηλωσάτω.
Χορός. Ἔξεστί σοι θέλοντι ταύτην εἰσβλέπειν.
Ἀγγελ. Τάλαινα παντάλαινα καὶ τρισαθλία.
πέπτωκε ξωθεὶς ὁ ψιχάρπαξ ἐν μάχῃ.
Γυνή. Ὦ τοῦ ποθουμένου καὶ πεφιλημένου τέκνου.
πέπτωκεν ἡ μὴ τοῦ γήρως βακτηρία.
ὢ τῶν πόνων ὢ τῶν πόνων ἰαλέμων.
παῖ παῖ τὰ πάντα δεινὰ τῶν ἀγγελμάτων.
ἰοὺ θανοῦμαι, τίς γένωμαι, ποῦ φύγω.
πᾷ βῶ; παρεῖμαι τῶν μελῶν ἀρρωστίας
ὦ παῖ. παπαῖ παῖ φιλτάτη θεωρία.

τέτλαθι



Τέτλαθι μοι τέτλαθι παῦσαι τῶν γόων.
Ὦ Ζεῦ ταναῶ δίφρεντι πανοτρέπον. Χορ.
Αἶ αἶ τάλαινα μήτηρ ἠθλιωμένη. Γυνή
Ἐπίσχες ἄρτι τοὺς ἀπειρίτους γόους. Χορ.
Ὦ φιλτάτη πρόσοψις ὦ παῖ μοι φίλε. Γυνή
Φέρειν πρέπον σοι τὴν ἄπειρον ἀνίαν. Χορ.
μαθεῖν δὲ λοιπὸν τὰ περίλοιπα τοῦ μόθου
Ἀλλ' οὐ σθένω σχεῖν τοῦ πόνου τὴν πικρίαν. Γυνή.
τίς νῦν ὄνησις ἐκ γόων ἀμετρίας. Χορός
Αὐτὴν διαχρήσαιμι καὶ τάχει θάνω; Γυνή.
Μὴ δῆτα τοῦτο μὴ δὲ συστρέφειν θέλε. Χορός.
καὶ πῶς ἀνεκτὸν μὴ πεφύρθαι ἐπὶ στένειν. Γυνή.
τί δὲ, στένουσα τοὺς λογισμοὺς κουφίζεις. Χορ.
οὐδεὶς θανόντας ἐξεγείρει τοῦ τάφου.
Παυθεῖσα τί πράξαιμι τῶν στεναγμάτων Γυνή.
Μαθεῖν θέλησον τὰ περίλοιπα τοῦ μόθου Χορ.
καὶ τίς κατείπῃ ταῦτα καὶ σαφηνίσῃ. Γυνή.
Ὁ τῶν προόντων ἄγγελος ἀγγελμάτων. Χορ.
Καὶ ποῦ πάρεστιν. Χορ. Εἰσορᾶν ἔξεστί σοι Γυνή.
Ἐκ τοῦ πάθους ὄλωλα καὶ συνετρίβην Γυνή.
καὶ τὰς κόρας ἤμβλυνα τὰς τῶν ὀμμάτων.
Ἅπαν λέγε εὐκίνητον ἀγγελιφόρε Χορ.
ὅπως μὲν ἔστι τῆς μάχης ἡ τραχύτης.

B καὶ

καὶ πῶς ὁ παῖς πέπτωκε τοῦ τυρεγχύη.
Ἀγγ. Εἴπω καθεξῆς ἢ τεμὼ τὰς ἐμφάσεις.
Χορ. Ἐξῆς ἅπαν ἔξειπε συμβὰν τῇ μάχῃ,
αὐτῆς ἀπ' ἀρχῆς τὸν λόγον διεννέπων.
Ἀγγ. Εἴπω τὰ πάντα, τοιγαροῦν ἀκουστέον.
ἐπεὶ γὰρ εἰς σύμμιξιν ἤλθομεν τῆς μάχης,
πρῶτον μὲν ὁ κράτιστος ἐθνοσατράπης,
ὁ ψιχολείχης συμβαλὼν τῇ παμφάγῳ
ἥττηται καὶ πέπτωκεν, οἰκτρά τις θέα.
καὶ πᾶσα τούτου στρατιὰ διεφθάρη.
ἔπειτ' ἐπῆλθεν ἄλλος ἀρχισατράπης
ὃς τοῖς ὠνόμαστο κωληκοκλόπος.
καὶ ταύτην αὐτῷ πτῶμα πέπτωκε ξένον,
οὐδ' ὑπομείνας προσβολὴν βραχυτάτην·
ὡς γοῦν ἑώρα τοὺς κραταιοὺς σατράπας
ἤδη πεσόντας ὁ ψιχάρπαξ, καὶ βόσιν
οἰκτρὰν φανέντα σὺν στρατῷ τῇ παμφάγῳ
ὀργῆς ἐπλήσθη καὶ χόλου βαρυτάτου.
Γυν. Θυμοῦ γὰρ οὐδέν ἐστιν ἄλλη πικρία,
εἰ μὴ ζέσις τις αἵματος πρὸς καρδίαν.
λαβὼν δὲ κοντὸν χερσὶν ἴσον ὠμηλίου
ἐπῆλθεν αὐτῇ τοῦ τεθανατωκέναι.
ἡ δ' εἰσιδοῦσα τοῦτον ἠτοιμασμένον,





ἐκ τοῦ σύνεγγυς πρὸς σφαγὴν ἑστηκότα,
καὶ κοντῷ ἐκτείνοντα καρτερωτάτῳ,
ὥρμησεν αὐτὸν συλλαβεῖν παραυτίκα,
καὶ δὴ κατεῖχε τοῖς ὄνυξιν ἀγρίως
καὶ σὺν τάχει βέβρωκε τὸν νεανίαν.
Καὶ ταῦτ' ἐπ' ὄψει τοῦ φίλου φυτοσπόρου. Χορ.
Τὸ μεῖζον αὐτὸ τυγχάνει μοι τοῦ πάθους. Γυν.
Ἐγὼ δ' ἐπεὶ δέδορκα τοῦτο τὸ πρᾶγμα, Ἀγγ.
προσῆλθον ὦ πότνια σοὶ πεφρακέναι.
Ὡς εἴθε μὴ δ' ἐπῆλθες ἀγγελιαφόρε. Γυν.
μέγιστον ἦν μοι μηδ' ὅλως προσιέναι.
οὐκ ἂν γὰρ ἀκμὴν τῷ πάθει συνεσχέθην.
Ἐγὼ μὲν οὖν ἄπειμι τὴν ὀπισθίαν. Ἀγγ.
Ἔλθοις κακῶν ἥκιστα μηνυτὴς πάλιν. Γυν.
Κακὸς κακῶς ὄλοιτο νῦν ὁ πυρφόρος. Χορ.
Δέδοικεν ἡμᾶς πυρφορήσας τῷ λόγῳ. Γυν.
Ὦ ποῖον ἄνθος τῶν μυῶν ἀπεκρύβη. Χορ.
ἐμοὶ δοκεῖ κάλλιστον εἶναι καὶ πρέπον,
σύνθρηνον ᾆσαι παιδὶ τῷ πεπτωκότι.
Καλῶς ἔφησας. τοιγαροῦν θρηνητέον. Γυν.
Πρώτιστα σὺ κρότησον ἀρχὴν τοῦ πάθους. Ἀγγ.
Ἀπαπαὶ παπαὶ παῖ παῖ παπαὶ πολλάκις. Γυν.
Παῖ Κρεΐλλε παῖ παῖ παπαὶ δέσποτα. Χορ.

γυνή. Ἂ ἂ πόθι παῖ ποῦ ποτ' ἀπέβης τέκνον.

Χορ. Ποῖ ποῖ καλυφθεὶς ἐξαπέπτης τοῦ βίου.

γυνή. Ὢ ὢ πόθεν ποῖ τῶν πόνων ἰαλέμων.

Χορ. Ἰαλέμων ὢ καὶ πάλιν ἰαλέμων.

γυνή. Ἆ ἆ λέλοιπα τὸν λύχνον τῆς ἡμέρας.

Χορός. Ἅπαντ' ἄπαντα τοῦ βίου, τέφρα, κόνις.
ἅπαξ ἅπαντα τοῦ βίου σκιὰ μόνον.

γυνή. Οἴ οἴ προῆλθες ὦ ψιχάρπαξ ὦ τέκνον.

Χορ. Ἀρκεῖ. τὸ λοιπὸν βαῖνε μὴ περαιτέρω.
ἤδη βλέπω γὰρ ἄγγελον ταχυδρόμον.

γυνή. Δέδοικα, δεινὸν μὴ πάλιν τί μοι φράσῃ;

Χορ. Οὐκ ὦ σεβαστή. γυνή. πῶς σὺ οἶδας. Χο. πῶς ἄρα,
φαιδρῷ προσώπῳ τὸν δρόμον διατρέχων.

γυνή. Ὡς εἴθε χρυσὸν ἄγγελον Ζεῦ μοι προέες.

εἶδος ἀγγ. Ἡ δέσποτις πέφυκε ποῦ τίς εἰπάτω.

Χορ. Πάρεστιν ἰδοὺ καὶ θέλεις εἰ περ βλέπε.

ἀγγ. Πάγχρυσε φαιδρὰ μὴ τεθλιμμένη γίνου.
κἀμοὶ βράβευε δῶρα τῶν ἀγγελμάτων.

γυνή. Ἔξειπε μὴ χλεύαζε κομποῤῥημόνως.

ἀγγ. Ἂν μὴ νέμῃς πρώτιστα δῶρα τοῦ λόγου.

γυνή. Εἰπόντι δώσω καὶ παράσχω συντόμως.

ἀγγ. Τέθνηκεν ἡ τάλαινα γαλῆ τῶν μυῶν.

γυνή. Ἆ ἆ κροτήσω καὶ χαρήσομαι πλέον.

Νικησάτω



Νικησάτω γὰρ ἡ χαρὰ τὴν ἀνίαν. ἀγγ.
ὑφ' ἡδονῆς μέγιστον ὀρχοῦμαι πάνυ. γυνή.
τὸ τοῦ μόθου πρότερον μάθωμεν φίλη Χορ.
καὶ πῶς τέθνηκε δυσμενὴς ἡ παμφάγος.
ἐξειπάτω δὴ πᾶσαν ἀγγελιηφόρος. γυνή.
τὴν συγκρότησιν τῆς μάχης ἐπὶ τὸν μῶλον
τῆς ἀγριόπου καὶ κακῆς μυοκτόνου.
Ἡ δέσποτις λέλακε τὴν γλῶτταν κρότει. Χορ.
Ἰδοὺ τὸν ἑρμηνευτὴν εὐτρεπίζω τοῦ λόγου. ἀγγ.
ὑμεῖς δ' ἑτοίμως ὦσιν οὖσιν ὀρθίοις,
ἐνωτίσασθε τῶν ἐφορμηνευμάτων.
ὡς γοῦν ὁ δεινὸς σωματοφθόρος μόθος
ἔσχηκεν ἀρχὴν προσβολῆς εὐκοσμίας
καὶ πρῶτον μὲν πέπτωκεν ἐθνοσατράπης
ὁ ψιχολείχης. εἶθ' ὁ κωληκοκλόπος
ἔπειθ' ὁ παῖς τοῦ καλοῦ μου δεσπότου,
ἤλγησεν οὗτος περὶ πάθει τὴν καρδίαν,
ἰδὼν τὸν υἱὸν τὸν φίλον τεθνηκότα.
καὶ τὴν ὑπ' αὐτὸν στρατιὰν προτρέψας,
ἐπῆλθεν ἀπηνῶς τῇ φθόρῳ καὶ παμφάγῳ.
καὶ πρὸς ἅμιλλαν ἀτρόμως συνεπλάκη.
πλεῖστον δὲ καιρὸν ἀνθυπηκονισμένων,
καὶ μηδενὸς φεύγοντος ἀλλ' ἑστηκότες,

ξύλον

ξύλομ κατελθὸμ τοῦ ὑπὲρ τῆς στέγης,
ἔτει παλαιῷ καὶ χρόνῳ τεθραυσμένομ,
ἔπληξεμ αὐτὴν τὴν μέσα μεταφρένωμ·
καὶ νεῦρα συντέθλακεμ αὐτῆς αὐτίκα.
καὶ πρὸς βάθη πέπτωκεμ αἰδωνέως.
καὶ τὴν πρὶμ ἡμῶν δυσμενῆ κατακράτος.
ἄσπονδομ, ἀμείλικτομ, ἠγριωμένην,
ἔδειξεν ἄπνουν ἐκτάδημ ἡπλωμένημ.
Χορ. Ζώοις ἀλύπως, εὐθαλῶς, εὐκαρδίως,
ἐς λυκάβαντας μήπω πεπληρωμένους.
ἀνθ' ὧμ περ ἦλθες ἄγγελος ποθουμένωμ.
καὶ τὸμ φόνον προὔφηνας ἡμῖμ τοῦ φθόρου,
ἤδη γὰρ εἶδον πᾶμ ποθούμενομ τέλος,
εἰληφὸς ἄρτι καὶ καλῶς ἠνυσμένομ.

ΤΕΛΟΣ ΤΗΣ ΓΑΛΕΟ-
ΜΥΟΜΑΧΙΑΣ.

Ἐμ Βασιλείᾳ πόλει τῆς Γερμανίας παρὰ Ἰω.
τοῦ Φροβενίου. ἔτει ἀπὸ τῆς θεο-
γονίας α. φ. ιη. μηνὶ
Γαμηλιῶνι.



II d
167 a